σελ. 98). Φαίνεται δ' ὅτι τὸ πλεῖστον ἐν Κωνσταντινουπόλει διέτριβεν. Ὁ Παρθένιος ἐμερίμνησε περὶ τῆς ἐκκλησίας τῶν Ἱεροσολύμων, πορευθεὶς εἴς τε τὸ Ἰάσιον καὶ Βουκουρέστιον διὰ ζητείας τοῦ θρόνου ἡγεμονευούσης τῆς οἰκογενείας τῶν Μαυροκορδάτων, τοῦ Ἰωάννου, εἶτα δὲ καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Κωνσταντίνου (Καισ. Δαπ. Ἱστ. Κατ. Σάθα, Μεσ. Βιβλ. τόμ. γ', σελ. 98), ἀνανεώσας τὰ χάττι σερίφια τὰ ἀπολεσθέντα κατὰ τὸν πόλεμον μεταξὺ Τούρκων καὶ Γερμανῶν διὰ χοτζετίων, ἡ χρονολογία ὅμως τῆς πράξεως ταύτης φαίνεται σκοτεινὴ παρ' Ὑψηλάντῃ (Ὑψηλάντου, Τὰ μετὰ τὴν ἅλωσιν σελ. 181). Τῷ δὲ 1757 δι' ἐνεργειῶν αὐτοῦ ἀφήρεσεν ἀπὸ τοὺς παπιστὰς τὰς ἐκκλησίας τῆς Βηθλεέμ, Γεθσημανὴ καὶ ἄλλων μερῶν, ἃς ἀνακτήσας ἐπεκυρώσατο τῷ θρόνῳ τῶν Ἱεροσολύμων διὰ χάττι σεριφίων, ἀποτίσας τῷ μὲν μεγάλῳ βεζύρῃ πουγγία 22 (ἤτοι γρόσια 11,000), τῷ δὲ Ῥεῒζ Ἐφέντῃ πουγγία 11 (ἤτοι γρόσια 5,500)· ἔτι δ' ἀρκετὰ ἐδαπάνησεν εἰς τὸν σταλέντα πρὸς ἀφαίρεσιν τῶν ἐκκλησιῶν αὐτῶν ἀπὸ τοὺς παπιστὰς καὶ ἀπόδοσιν εἰς τὸν θρόνον Ἱεροσολύμων, ἀντιπράξαντος τοῦ πρέσβεως τῆς Γαλλίας εἰς τοῦτο, ὑπισχνουμένου αὐτοῖς 26,000 φλωρία, οὐδὲν ὅμως κατορθώσαντος (Ὑψηλάντου, Τὰ μετὰ τὴν ἅλωσιν σελ. 375), καὶ περὶ τοῦ διαδόχου αὐτοῦ πολλὰ μεριμνήσας ἵνα τοιοῦτον καταστήσῃ τὸν πατριώτην αὐτοῦ Ἐφραίμ, πρὸς ἀνύψωσιν τοῦ θρόνου εἰς τὴν πρέπουσαν αὐτοῦ περιωπήν. Τὰ κατ' αὐτὸν ὁ Ὑψηλάντης, σύγχρονος καὶ φίλος αὐτοῦ διατελέσας, ἐκτενῶς ἀναγράφει (Ὑψηλάντου, Τὰ μετὰ τὴν ἅλωσιν σελ. 409-410). Περὶ τοῦ Παρθενίου τινὰ ἀναγράφονται ἐν τοῖς Σωζομένοις ἐκκλησιαστικοῖς τοῦ Κ. Οἰκονόμου (τόμ. β', σελ. 311) καὶ ὁ Σοφοκλῆς Κ. Οἰκονόμος ἐκτενέστερον ἀναγράφει τὰ κατ' αὐτὸν ἐν τῷ Νικολάου Α. Μαυροκορδάτου Ψόγῳ νικοτιανῆς (σελ. 53-55). Σέργιος δ' ὁ Μακραῖος λαμπρὰν μνείαν ποιεῖται τοῦ ἀνδρός. «Παρθένιος πατριάρχης Ἱεροσολύμων, Ἀθηναῖος, ἀνὴρ σοφὸς καὶ πολυμαθής, καὶ τὸν ἑρμηνευτικὸν τρόπον τῶν θείων Γραφῶν ἄριστα ἠσκημένος. Διὸ καὶ περιερχόμενος πανταχοῦ διήνοιγε τὰς Γραφὰς ἑρμηνεύων καὶ διδάσκων, ἐστήριζε τοὺς χριστιανοὺς εἰς ὑπομονὴν καὶ καρτερίαν τῶν ἐπικειμένων θλίψεων, διεθέρμαινε τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην, ἐκόσμει τὰ ἤθη, καὶ παντὶ τρόπῳ ἐγίνετο ὠφέλιμος, καλλιεργῶν τὴν ἄμπελον τοῦ Χριστοῦ ἀποστολικῶς, καὶ τὴν εὐλογίαν τῶν χριστιανῶν πρὸς τοὺς ἐν Ἱεροσολύμοις ἀδελφοὺς διακονῶν» (Σεργ. Μακραίου, Ἐκκλ. Ἱστορία. Σάθα, Μεσ. Βιβλ. τόμ. γ', σελ. 234). Περὶ τοῦ βίου τοῦ ἀνδρὸς λεπτομερεῖς εἰδήσεις μανθάνομεν ἀπὸ Και-

σάριον τὸν Δαπόντεν, ὅστις προήχθη ὑπ' αὐτοῦ ἐν Βουκουρεστίῳ μὲ τὸ ὀφφίκιον τῆς πρώτης πεντάδος τῶν κληρικῶν, ἤτοι μέγας ἐκκλησιάρχης τοῦ θρόνου τῶν Ἱεροσολύμων τὸν Φεβρουάριον τοῦ ᾳψμδ' ἐκ Κωνσταντινουπόλεως, παραθέτων καὶ τὸ γράμμα τῆς προαγωγῆς αὐτοῦ ἐν τῷ ἱστορικῷ αὐτοῦ Καταλόγῳ. Ἀναγράφει δὲ περὶ αὐτοῦ τάδε: «Παρθένιος ὁ κοντόφθαλμος, Ἀθηναῖος φιλόσοφος, καὶ αὐτὸς ἀπὸ Καισαρείας διάδοχος, καὶ ἀπέθανεν εἰς τὴν Πόλιν. Οὗτος ἦλθεν ἀπὸ τὸ Βουκουρέστι εἰς τὸ Γιάσι διὰ ζητείαν εἰς τὰς ἡμέρας καὶ αὐτὸς τοῦ αὐθέντου μου Ἰωάνβοδα, καὶ τὸν ἐκατέβη δαμλᾶς, καὶ ἦλθεν εἰς θάνατον, ἐπιάσθη δὲ ἡ γλῶσσά του, καὶ ἐτραύλιζεν ἕως θανάτου· καὶ ἐγύρισε πάλιν εἰς Βουκουρέστι, αὐθεντεύοντος Κωνσταντίνβοδα ἀδελφοῦ τοῦ Ἰωάνβοδα....» (Καισαρίου Δαπόντε, Ἱστορικὸς Κατάλογος. Σάθα, Μεσαιωνικὴ Βιβλιοθήκη τόμ. γ', σελ. 98). Φαίνεται δ' ὅτι ἐτελεύτησεν ἐν τῇ πατρίδι αὐτοῦ ἐν Ἀθήναις καὶ οὐχὶ ἐν Κωνσταντινουπόλει, οὐχὶ ὅμως βιαίῳ θανάτῳ ὅπως ἐκ παραδόσεως ἀναγράφεται ἐν σελ. 363, διότι κατὰ τὰ ἤδη ἐκ τοῦ Ὑψηλάντου καὶ Δαπόντε ἀναγραφέντα ἀπόπληκτος γενόμενος, παρέμεινε παραλυτικὸς καὶ τραυλίζων, ὥστε οἶκτον μᾶλλον παρίστα ὁ ἀοίδιμος ἀνήρ, οὐχὶ δὲ φθόνον κατ' αὐτοῦ· ἡ παράδοσις ἄρα δεῖται ἐπιβεβαιώσεως κατ' ἐμέ. Εἰς τὸν θάνατον τοῦ ἡγεμόνος τῆς Βλαχίας Νικολάου Α. Μαυροκορδάτου, συμβάντα τὴν 14 Σεπτεμβρίου τοῦ 1730, ἐξεφώνησε λόγον ὁ Παρθένιος ἐπιτάφιον δημοσιευθέντα ὑπὸ Ἐπαμ. Σταματιάδου (Βιογραφίαν τῶν Ἑλλήνων μεγάλων διερμηνέων τοῦ ὀθωμανικοῦ κράτους κτλ. Ἀθήνησι 1865, σελ. 105-115)· ἐν τέλει δὲ τοῦ λόγου καὶ ἐπίγραμμα δίστιχον ὑπάρχει εἰς αὐτόν· Τὸν λόγον αὐτὸν ἐξεφώνησεν ὁ Παρθένιος, ἱερομόναχος ὤν, τὸν Σεπτέμβριον τοῦ 1730, φαίνεται δ' ὅτι ἦν οἰκεῖος τῆς οἰκογενείας Μαυροκορδάτου, δὶς πορευθεὶς ἐπὶ τῆς ἡγεμονίας τοῦ οἴκου τούτου εἰς τὰς Ἡγεμονίας καὶ ἐκφωνήσας τὸν ἐπιτάφιον εἰς Νικόλαον τὸν Μαυροκορδάτον. — Σπουδαῖον ἴσως ἔργον τοῦ Παρθενίου ἦν ἡ Ὀθωμανικὴ αὐτοῦ Ἱστορία, ἧς περικοπὴ ὑπάρχει ἐν κώδικι ἀνήκοντι πρότερον μὲν τῷ Δέρκων Νεοφύτῳ, νῦν δὲ τῷ ἐν Κωνσταντινουπόλει Ἑλληνικῷ Φιλολογικῷ Συλλόγῳ, «Περικοπὴ ἐκ τῆς ὀθωμανικῆς ἱστορίας Παρθενίου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου τοῦ ἀποστολικοῦ θρόνου τῶν Ἱεροσολύμων» (Σοφ. Οἰκονόμου, Νικολ. Α. Μαυροκ. Ψόγος νικοτιανῆς κτλ. σελ. 7-8), ἡ ἀνεύρεσις τῆς ὁποίας ἴσως διαφωτίσῃ σκοτεινὰς σελίδας τῆς μετὰ τὴν ἅλωσιν ἱστορίας τοῦ ἔθνους.

Ἔγραφον ἐν Τερέτῳ Ποσειδείων Σύρου κατὰ Μάϊον 1887.

Π. Γ. Ζερλέντης.

ΕΛΛΗΝΙΚΗ ΕΠΙΓΡΑΦΗ

ΕΝ ΤΗι ΠΟΛΕΙ ΠΟΡΤΩι

Ἐν τῷ δελτίῳ τῆς Commissione archeologica comunale di Roma [1] κατὰ Μάϊον τοῦ 1886 ἠγγέλθη ἡ ἀποκάλυψις μνημείου διὰ τῶν ἑξῆς λέξεων: «Κατὰ τὴν ἐπισκευὴν τοῦ ὑδραγωγείου τοῦ Ἄγκου Μαρκίου ἐν τῇ ἐκτάσει τῆς δημοτικῆς ὁδοῦ, ἥτις διέρχεται διὰ τῆς ἀρχαίας πόλεως Ὠστίας, παρὰ τὰς κιγκλῖδας τῆς εἰς τὸ κοιμητήμητήριον τοῦ Fiumicino εἰσόδου ἀνευρέθη στήλη ἐκ μαρμάρου ἀκατέργαστος ὕψος ἔχου μέτρ. 1,22 καὶ διάμετρον μ. 0,29. Ἐπ' αὐτῆς ὑπάρχει ἐγκεχαραγμένη ἐρίτιμος ἐπιγραφή»· Αὕτη μὲν ἡ ἀρχαιολογικὴ εἴδησις. Ἐν τῷ αὐτῷ δὲ δελτίῳ τοῦ Ἰουνίου τοῦ αὐτοῦ ἔτους ὁ διάσημος κατὰ τὴν Ἰταλίαν διφήτωρ καθηγητὴς κ. Ἰωσὴφ Γάττης ἀνέγνω καὶ διελεύκανε τὸ ἀποκαλυφθὲν μνημεῖον. Καὶ ἡ ὑπ'αὐτοῦ ἀνάγνωσις τῆς ἀνευρεθείσης ἐπιγραφῆς εἶναι αὕτη :

Διὶ Ἡλίῳ μεγάλῳ
Σ(αρ)άπιδι καὶ τοῖς
συ(ν)νάοις θεοῖς
τὸν θεοφιλέστατον
πα(ιδ)ίον Π. Αὐρ(ήλιος)
Σαρ(α)πίων παλαιστὴς
παράδοξος σὺν τῷ
πατρὶ Μ. Αὐρ(ηλίῳ) Δη(μ)ητρίῳ
τῷ κ(ά)ὶ (Ἁ)ρποκρα(τ)ίωνι
βο(υ)λευτῇ τῆς λαμ-
προτάτης πόλεως
τῶν Ἀλεξανδρέων
εὐξάμενοι καὶ εὐ
τυχόντες ἀνεθήκα-
μεν ἐπ' ἀγαθῷ.

Κάτωθεν τῆς ἐπιγραφῆς ταύτης ὑπάρχουσιν ἐγγεγλυμμένοι στέφανος καὶ φοίνιξ καὶ ἐπὶ τοῦ στεφάνου αὐτοῦ ἐπιγέγραπται ἡ λέξις *χρυσάνθινα*.

Καὶ τὰ μὲν γράμματα τῆς περὶ ἧς ὁ λόγος ἐπιγραφῆς εἰσι κάλλιστα, ἀλλὰ τὸ μάρμαρον ἐνιαχοῦ ἀποκεκρουσμένον μέν, εὐσυμπλήρωτον ὅμως. Ἐν ἀρχῇ τοῦ πέμπτου στίχου οὐδὲ τὸ παράπαν ἀποβαίνει δυνατὴ ἄλλη ἀναπλήρωσις, ἐπειδὴ βέβαιον εἶναι ὅτι τὰ πρῶτα μὲν γράμματα εἶναι *πα*, τὰ δὲ τελευταῖα *ιον* καὶ οὐδὲν διάκενον ὑπάρχει, ἀλλὰ μόνον διὰ δύο γράμματα. Ἐκ τῆς συμπληρώσεως λοιπὸν τοῦ στίχου τούτου ἐξαρτᾶται ἡ ἑρμηνεία πάσης τῆς ἐπιγραφῆς, ἐν τούτοις κατ' ἀγαθὴν συντυχίαν ἡ συμπλήρωσις τῶν δύο παρ-

[1] Τῆς ἐν Ῥώμῃ δημοτικῆς ἀρχαιολογικῆς ἐπιτροπείας.

εφθαρμένων γραμμάτων ἐστὶν ἀσφαλὴς καὶ ἀναγνωστέον: πα(ιδ)ίον. Τούτου τεθέντος ἐπιστεύθη ὅτι τὸ ἄρθρον *τὸν* τῆς προηγουμένης λέξεως προῆλθεν ἐξ ἀβλεψίας τοῦ λιθοξόου. Πλὴν ἀλλ' ὅμως κατὰ τὴν ἡμετέραν κρίσιν οὐδὲν σφάλμα ἐνυπάρχει, ἐπειδὴ ἡ πλοκὴ αὕτη εἶναι ἡ *κατὰ σύνεσιν* εὔχρηστος παρ' Ἕλλησι, καθ' ἣν δυνατὸν νὰ συντάσσηται ὄνομα μετὰ τοῦ πραγματικοῦ γένους τοῦ ἄλλου ὀνόματος, ὅπερ ἐγχωρεῖ καὶ ἐπὶ τῶν ὑποκοριστικῶν, ἅτινα ἐκ τοῦ ἑνὸς μεταπίπτουσιν εἰς τὸ ἕτερον γένος, οἷον τὸ *παιδίον ἀγαθός*, τὸ *γυναίκιον ἀγαθή*. Ἄλλο εἶδος πλοκῆς κατὰ σύνεσιν παρατηρεῖται ἐν τῇ αὐτῇ ἐπιγραφῇ ἐπὶ τῶν λέξεων *εὐξάμενοι-τυχόντες-ἀνεθήκαμεν*, ἔνθα μνημονευτέον ὅτι οἱ Ἀλεξανδρῖνοι ἐχρῶντο τῷ ἀνεθήκαμεν ἀντὶ τοῦ παρ' ἀττικοῖς ἀνέθεμεν. — Τούτου προταχθέντος ἀνακεφαλαιοῦμεν τὸ ὑπόμνημα τοῦ κ. Γάττη. Ὑπῆρχε δὲ γνωστὸν ἐξ ἄλλων μνημείων ὅτι ἐπὶ τῷ λιμένι τῆς Ὠστίας[1] ἔκειτο ναὸς καθιερωμένος τῷ Σεράπιδι καὶ ὅτι ἐν αὐτῷ ἐγίνετο ἐπίκλησις μετὰ τοῦ τίτλου «Ζεὺς Ἥλιος μέγας Σέραπις». Ἡ φιλοκρινουμένη αὕτη ἐπιγραφὴ ἐπιβεβαιοῖ ἀμφότερα τὰ γεγονότα ταῦτα. Ἡ δὲ φράσις «καὶ τοῖς συννάοις θεοῖς»[2] τεκμηριοῖ ὅτι ἐν τῷ Σεραπείῳ ἐλατρεύοντο ἄλλαι δευτερεύουσαι θεότητες, ὧν πιθανὸν κατὰ τύχην νὰ εὑρίσκωνται τὰ ἀγάλματα. Καὶ πρὸς ταῖς ἄλλαις θεότησι δέον ἐν τῷ εἰρημένῳ Σεραπείῳ νὰ ἐτιμᾶτο ἡ Ἶσις ἡ εἰδικῶς λατρευομένη ἐν τῇ ὁμόρῳ Ὠστίᾳ.

Καὶ τὸ μὲν δῶρον, ὅπερ ὁ Μάρκος Αὐρήλιος Σεραπίων καὶ ὁ τούτου πατὴρ ἀφιέρωσαν τῷ Σεράπιδι, εἶναι τὸ θεοφιλέστατον παιδίον, δῆλον ὅτι τὸ εἰδώλιον παιδὸς καθεζομένου ἐπὶ τῆς βάσεως τῆς ἐνεπιγράφου, τὴν δ' ἐν τῷ ὁμοιώματι αὐτῷ παρουσιαζομένην θεότητα ὑπομιμνήσκει ἡ ἑξῆς ἐπιγραφή:

Isidi
Sign. Harpocratis
C. Didius
Acutianus
don. ded.

Hujus simulacrum in Sacris Isidis et Serapidis adhibebatur[3].

Τὸ δ' αἴτιον τὸ παρορμῆσαν τὸν Μάρκον Αὐρήλιον Σεραπίωνα ἅμα τῷ ἰδίῳ πατρὶ Δημητρίῳ ὅπως ποιήσηται τὴν προσφορὰν ταύτην,

[1] Diis contubernalibus.

[2] Τούτου τὸ εἰδώλιον προσεφέρετο ἐν τοῖς ἱεροῖς τῆς Ἴσιδος καὶ Σεράπιδος.

ἐγένετο ἀναντιλέκτως εὐεργεσία τις, ἅτε τῆς ἐπιγραφῆς λεγούσης *εὐξάμενοι, εὖ τυχόντες ἀνεθήκαμεν*, τουτέστιν ἀφ' οὗ ἐδεήθημεν καὶ εὐτυχῶς εἰσηκούσθημεν ἀφιερώσαμεν ἄνευ ἄλλης ἀποφάσεως. Ἐν τούτοις ὁ φοίνιξ, ὁ ἀγωνιστικὸς στέφανος ἀμφότεροι παρουσιαζόμενοι ὑπὸ τὴν προειρημένην ἐπιγραφήν, ὁ παράδοξος παλαιστὴς ὁ ἐν τῇ αὐτῇ ἐπ' ἴσης ἀπαντῶν καὶ ὑπὲρ πάντα τὰ λοιπὰ ἡ λέξις *χρυσάνθινα*, ἡ ἐπιγεγραμμένη ἐπὶ τοῦ στεφάνου ὑποσημαίνουσι νίκην ἐπιτευχθεῖσαν παρὰ τοῦ Μάρκου Αὐρηλίου Σεραπίωνος ἐν τοῖς δημοσίοις ἀγῶσιν. Ἡ λέξις *χρυσάνθινα* ὑποδηλοῖ ἱεροὺς ἅμα καὶ πανηγυρικοὺς ἀγῶνας, οἵτινες ἐτελοῦντο ἐν Σάρδεσι, μητροπόλει τῆς Λυδίας καὶ συχνότατα μνημονεύονται ἐπὶ τῶν νομισμάτων τῆς πόλεως ταύτης[1]. Περιπλέον οὐ μόνον ἐν ἄλλοις μνημείοις τῶν παλαιστῶν εὕρηνται ἐπιγεγραμμένα ἐπὶ τοῦ στεφάνου τὰ ὀνόματα τῶν πανηγυρικῶν ἀγώνων, ἐν οἷς ἤραντο τὴν νίκην, δεικνυομένην καὶ ἐν τῷ προκειμένῳ μνημείῳ καὶ ἐκ τοῦ στεφάνου καὶ ἐκ τοῦ φοίνικος, ἀλλ' ἔτι εὑρίσκονταί τινα, ἐν οἷς ἀναγινώσκεται ἡ ἐπιγραφὴ «*χρυσάνθινα ἐν Σάρδεσιν*» (πρβλ. Corpus inscr. Graec. 5913).

Περὶ δὲ τῆς χρονολογίας τοῦ προμνημονευθέντος μνημείου ὁ κ. Γάττης ἀποφαίνεται τάδε: «Τὰ ὀνόματα τοῦ Μάρκου Αὐρηλίου, ἅτινα ἀπαντῶσι καί εἰσι συχνότατα ἐν ταῖς ἐπιγραφαῖς, ὅσαι ἀφορῶσιν εἰς τὴν λατρείαν καὶ τὰ ἱερὰ τῆς Ἴσιδος καὶ τοῦ Σεράπιδος, ἐμφαίνουσιν ὅτι τὸ μνημεῖον αὐτὸ ἀνήκει εἰς τὴν τελευταίαν δεκαετηρίδα τοῦ β' μ. Χ., ἢ εἰς τὰ πρῶτα ἔτη τοῦ γ' αἰῶνος. Γνωστὸν ἐν τέλει τυγχάνει τοῖς περὶ τὰ ἀρχαῖα διατρίβουσιν, ὅτι ἀπὸ τῆς ἐποχῆς τοῦ αὐτοκράτορος Κομμόδου μέχρι τῆς Ἀλεξάνδρου Σευήρου ἡ λατρεία τῆς Ἴσιδος ἐφίκετο τοῦ κολοφῶνος τῆς λαμπηδόνος καὶ ἐπακριβῶς εἰς τὴν χρονικὴν αὐτὴν περίοδον ἀνάγονται αἱ ὡραιόταται καὶ δαψιλέσταται ἀναμνήσεις, αἱ ἀνευρεθεῖσαι ἔν τε τῇ Ὠστίᾳ καὶ ἐν Πόρτῳ[1]».

Ἐν Κεφαλληνίᾳ κατὰ Ἰανουάριον 1887.

Ν. Πετρῆς, *γυμνασιάρχης*.

[1] Ἴδε Eckhel, Doctr. numm. III, σ. 117.

[2] Ὠ σ τ ι α καὶ Ὠ σ τ ί α ἦτο ἡ ὑπὸ τοῦ Ἄγκου Μαρκίου ἐπὶ τῇ εὐωνύμῳ ὄχθῃ τοῦ ἀριστεροῦ βραχίονος τοῦ Τιβέρεως καὶ παρὰ τὸ στόμιον αὐτοῦ κτισθὲν ἐπίνειον τῆς Ῥώμης ἐν Λατίῳ. Ἡ πόλις λοιπὸν αὕτη ὡς ἐκ τῆς ναυτιλίας καὶ ἐμπορίας ταχέως κατέστη εὐπορωτάτη. Καὶ κατεστράφη μὲν ὑπὸ τοῦ Μαρίου, πλὴν ἀλλ' ὅμως ταχέως ἀνῳκοδομήθη μεγαλοπρεπέστερον. Ὅτε ὅμως ὁ αὐτοκράτωρ Κλαύδιος ἔκτισε νέον καὶ καλλίονα λιμένα ἐπὶ τῷ δεξιῷ βραχίονι τοῦ Τιβέρεως (ὅστις ἐπωνομάσθη Portus Romanus ἢ Portus Augusti, ἤτοι λιμὴν ῥωμαϊκὸς ἢ λιμὴν τοῦ Αὐγούστου), βελτιωθέντα ἔτι μᾶλλον ὑπὸ Τραϊανοῦ, παρ' ᾧ λιμένι ἐν τοῖς μετέπειτα καιροῖς ἐκτίσθη καὶ ἀκμαία πόλις ὑπὸ τὴν ἐπωνυμίαν Π ό ρ τ ο ς (Portus), ἡ Ὠστία περιῆλθεν εἰς ῥυτιδανότητα.

ΧΡΥΣΟΒΕΡΓΟΥ ΚΟΥΡΟΠΑΛΑΤΟΥ

ΛΟΓΟΣ

Τῶν πρὸ τῆς πολιτικῆς παλιγγενεσίας τοῦ ἡμετέρου ἔθνους γενομένων ἀειμνήστων διδασκάλων τὰ πονήματα, οἱαδήτινα κἂν ὦσι, δέον νὰ γίνωνται διὰ τοῦ τύπου γνωστά. τοῦτο μὲν ἵνα μένωσι ταῦτα εἰς τοὺς ἐπιγιγνομένους διηνεκῆ ὑπομνήματα τῶν μεγάλων ἀγώνων, οὓς ἐκεῖνοι καρτερικῶς ἀνέτλησαν πρὸς διάδοσιν τοῦ οὐρανίου φωτὸς τῆς παιδείας ἐν ἡμέραις πικρᾶς δουλείας, παχυλῆς τε ζοφώσεως καὶ παντοίων διωγμῶν καὶ δοκιμασιῶν· τοῦτο δέ, ὅτι ἐν τοῖς πλείστοις αὐτῶν ὑπολανθάνουσι πολλαὶ χρησιμώταται εἰδήσεις διαφωτίζουσαι τὰς ἐν πυκνῇ ἀχλύϊ κεκαλυμμένας ἔτι λεπτομερείας τῆς συγχρόνου ἐθνικῆς ἡμῶν ἱστορίας.

Οὕτως ἐν παραδείγματι ἐκ τοῦ νῦν πρῶτον δημοσιευομένου Λόγου τούτου πληροφορούμεθα, ὅτι αὐτὸς ὁ ἀφθόνοις τοῖς ἐγκωμίοις ἐπευφημούμενος ἱεράρχης Ἰωάσαφ πρῶτος συνέστησεν ἑλληνικὴν σχολὴν ἐν Ἀγχιάλῳ, ἧς καθηγήσατο αὐτὸς οὗτος ὁ τὸν Λόγον ἀπαγγείλας Χρυσοβέργης Κουροπαλάτης, τῆς εἰρημένης πόλεως βλάστημά τε καὶ θρέμμα, ἀνὴρ πεπαιδευμένος καὶ τῆς γαλλίδος γλώσσης ἐγκρατής, ὕστερον δὲ καὶ ἐν τῇ πολιτικῇ τῆς Ῥωσίας ὑπηρεσίᾳ διαπρέψας, ὡς φαίνεται, ἀνθ' ἧς ἐτιμήθη τῷ τοῦ *Ῥωσικοῦ αὐλικοῦ συμβούλου* ἀξιώματι. Ἐξ αὐτοῦ ἔχομεν τὴν μετάφρασιν τῆς τοῦ σοφοῦ Γαλάτου ἀββᾶ Βαρθολομαίου περιπύστου *Περιηγήσεως τοῦ Νέου Ἀναχάρσιδος*, ἐν ὀκτὼ τόμοις ὀγδόου σχήματος ἐκδοθεῖσαν ἐν Βιέννῃ τῷ 1819—20.

Ὁ Λόγος δ' οὗτος ἐν τοῖς χειρογράφοις τῆς πατμιακῆς βιβλιοθήκης ἀποκείμενος ἀπεστάλη μοι ἐν ἀντιγράφῳ ὑπὸ τοῦ παναρίστου φίλου Ἱεροθέου Φλωρίδου, τοῦ καὶ βιβλιοφύλακος· ὃν καὶ δημοσιεύω ἐνταῦθα προσθεὶς τὰς παραπομπὰς τῶν περιεχομένων χρήσεων καί τινας ἄλλας βραχείας σημειώσεις. Ἐν τέλει δ' αὐτοῦ φέρεται ἡ σημείωσις ἥδε: «Ἐκφωνήθη ὁ παρὼν λόγος παρὰ Χρυσοβέργου διδασκάλου τῆς Ἀγχιάλου, ἀντεγράφθη δὲ παρ' ἐμοῦ τοῦ Μανουὴλ Κεφαλιανοῦ εἰς τοὺς 1800 Μαρτίου 17». Ἦν δ' οὗτος Πάτμιος τὴν πατρίδα ἐκ τῶν τὰ πρῶτα τοῦ τόπου φερόντων.

ΛΟΓΟΣ ΕΠΙΒΑΤΗΡΙΟΣ

ΕΙΣ ΤΟΝ ΠΑΝΙΕΡΩΤΑΤΟΝ ΚΑΙ ΘΕΟΠΡΟΒΛΗΤΟΝ ΜΗΤΡΟΠΟΛΙΤΗΝ

ΤΗΣ ΑΓΙΩΤΑΤΗΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΑΓΧΙΑΛΟΥ

ὑπέρτιμον καὶ ἔξαρχον πάσης Μαύρης Θαλάσσης κύριον κύριον

ΙΩΑΣΑΦ

Οἱ μακρὰ τέμνειν πελάγη δι' ἐφέσεως ἔχοντες καὶ τὰ σκάφη πρὸς ὅρμους ἰθύνειν ἀσφαλῶς ἐπειγόμενοι, τῇ πολυειδεῖ καὶ ἀμφιλαφεῖ τῆς ναυτικῆς ἐμπειρίᾳ πεποίθασι, ταύτῃ ἐξ ἁπαλῶν ὀνύχων ἐνδιατρίβοντες, καὶ τὰς τῶν ἀστέρων κινήσεις πρὸς τὸν κατὰ πελάγη δρόμον σύνθημα ποιούμενοι ἀκινδύνως καταίρουσιν ἔνθα ἂν ἐθέλωσιν. Ἐμοὶ δὲ πέλαγος ἀρετῆς διελθεῖν λόγῳ σπουδάσαντι, καὶ πλεονεκτήματα ἀνδρὸς γραφῇ παραδοῦναι ἐξορμήσαντι, τίς ἄρα πεποίθησις ἔνεστιν; οὔτε γάρ μοι τέχνη ῥητορείας πάρεστιν ἡδυεπῶς πεφυκυίας ἐξυφαίνειν τὰ πράγματα, ἵνα τὴν γραφίδα οἱά τις οἴαξ ἀπευθύνῃ πρὸς τὸ σκοπούμενον, οὔτε γνῶσις σοφίας τῆς θύραθεν, ἵν' ὡς πυξὶς ναυτικὴ πρὸς τὴν ἀξίαν χειραγωγήσῃ τῆς ὑποθέσεως, καὶ τὸν τοῦ λόγου πλοῦν ἐξανύσῃ ἀπρόσκοπον[1] καὶ ἀπήμονα· ὥστε δέδοικα μὴ τὸ ἐμὸν κελήτιον τοιούτων ὂν ἄμοιρον, ἐξ αὐτῆς τῆς τοῦ λόγου ἀφετηρίας λάθῃ ναυαγίῳ χρησάμενον, καὶ μὴ ὑποβρύχιον ὅλον ποιήσῃ τοῖς κύμασι, μήτε στόμα διᾶραι τολμήσαντι, καὶ τὰ τῆς προπετείας καὶ ἀνοίας πρόστιμα κομιούμενον. Ἵνα δὲ μὴ τοῦτο πάθω, μηδὲ δόξω ***ᾄδειν ὥσπερ εἰς Δῆλον πλέων***, τὸ δὴ λεγόμενον[2], τὴν θείαν πρῶτον ἐπικαλοῦμαι ἀρωγὴν τοῦ λόγου προστάτιν συναιρομένην τε ἅμα καὶ συνεφαπτομένην τοῦ ἔργου, εἶτα δὲ καὶ τὴν ὑμετέραν πανίερον μοῦσαν θερμῶς καθικετεύω γενέσθαι μοι ξυνέριθον καὶ μετριάσαι τὴν ἀπαίδευτόν μοι γλῶτταν καὶ ἄῤῥυθμον, πεπεισμένην σαφῶς, ὅτι ***καὶ Θεῷ φίλον τὸ κατὰ δύναμιν***[3].

[1] Γραπτέον: ἀ π ρ ό σ κ ο π τ ο ν.

[2] «Εὐχερὴς γὰρ ὁ πρὸς τὴν Δῆλον πλοῦς, καὶ οἱ ἐκεῖσε καταίροντες ἀφροντίστως πλέοντες ᾖδον» [Ζηνοβ. Π α ρ ο ι μ. Β', 37.].

[3] Γρηγ. Ναζ. Ἐ π ι τ ά φ. ε ἰ ς Μ. Β α σ ί λ. πβ'. Migne —Πρβλ. καὶ Ἐ π ι τ ά φ. εἰς Κ α ι σ ά ρ. ιζ'.

Ἡ μὲν πολλοστὴ αὕτη καὶ οὐδένα ὄγκον ἐπισημότητος ἔχουσα κώμη Ἀγχίαλος, ἧς τὴν διοίκησιν ἡ ὑμετέρα πανιερότης οὐ τέχνῃ οὐδ' ἐξ αὐτομάτου, ἀλλὰ νεύματι θείῳ ἐκληρώσατο, προβάλλεταί με, μετὰ τὴν *ἐπωμίδα* καὶ *κίδαριν*, *περιστήθιόν τε* καὶ *ποδήρη*, καὶ *ζώνην*, καὶ *λόγιον τῶν κρίσεων*[1], οἷς αὐτὴν ὡς ἄλλον Ἀαρὼν τὸ πανάγιον Πνεῦμα κατεσκόμησε, δρεψάμενον καὶ συνείραντα νεόδρεπτ' ἄττα γλίσχρων ἐγκωμίων αὖθις, τῆς μὲν ἀξίας ὑποδεέστερα, τῆς δὲ προθυμίας οὐκ ἀπολειπόμενα, τῇ θεοπροβλήτῳ αὐτῆς κορυφῇ προσενέγκαι δείγματα, ἧς ἐπὶ τῇ παναισίῳ ἀναγορεύσει αὐτῆς μεθ' ὑπερβολῆς ἔσχε τῆς ψυχῆς διαχύσεως, καὶ ἧς ἕξει πρὸς αὐτὴν κατ' ὀφειλὴν ἀπαραίτητον εἰς τὸ ἐπιὸν δουλικῆς ὑποκλίσεως· παρεμφαίνουσα νῦν, ὅτε ἐπὶ τὴν ἁγιωτάτην ταυτηνὶ μητρόπολιν ὡς ἀστὴρ ἐφάνη φαεινότατος, ἥτε μάλιστα ἔρχεται ἀγγέλλουσα φάος *ἠοῦς ἠριγενείας*[2], καὶ λαμπρὰν ἡμέραν ἡμῖν ἀνατέλλουσα ἐν πολλῷ τῷ χειμῶνι καὶ ζόφῳ ἀπορουμένοις, καὶ τὸ τῆς χρηστότητος μυρίπνοον καὶ ἡδύπνοον ἔαρ ἀναπετάσειν ἐπαγγελλομένη, ποικίλοις μὲν καὶ παντοδαποῖς ὡραιότητος ἄνθεσι βρύον, ὡραίων δὲ καρπῶν καὶ ἀφθάρτων κατάκοσμον· ἐγὼ δὲ τὴν ἐμὴν ἀδυναμίαν κατανοῶν πάλαι ἂν ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν γωνίᾳ καὶ παραβύστῳ[3], εἰ μὴ τό: «*κωφὸς ἀνὴρ* [*τις*] *ὃς Ἡρακλεῖ στόμα μὴ παραβάλλει*»[4], ἐτάραττε· νῦν δὲ ἅπαξ ἀναρρίψας τὸν κύβον καὶ οὐ τὸν τυχόντα ἀγῶνα ἀναλαβών, ἀπορίᾳ συνέχομαι τί δήποτε πρῶτον προσενέγκω τῇ φιλομούσῳ καὶ ἀξιαγάστῳ αὐτῆς ψυχῇ ἀνάλογον, τῇ περὶ λόγους μὲν σχούσῃ δεινῶς, καὶ τούτους εἴπέρ τινι ἄλλῳ[5] ἀγαπησάσῃ, περιποιεῖσθαι δὲ καὶ περιέπειν τοὺς τούτων τροφίμους χαιρούσῃ, κἂν καὶ τῶν ἐσχάτων καὶ χαμαὶ ἐρχομένων τυγχάνωσιν, ὅτι μὴ λόγον· «*Μισθὸς γὰρ ἀρετῆς ἔπαινος*», κατὰ τὸν ἐν ἱεράρχαις Συνέσιον[6]. Οὗτος δέ, ἵνα καθ' ὁδόν, τό γε ἐπ' αὐτῷ, βαδίσῃ, τὰ τῶν ὑμετέρων χαρίτων ἀμαρύγματα ἀφηγούμενος, μικρὸν ἀνασχέσθαι καθικετεύει τὴν ὑμετέραν πανιερότητα.

Γένος μὲν οὖν αὐτῇ τὸ περιφανέστατον καὶ περίπυστον διά τε τὴν ἀρχαιότητα καὶ λαμπρότητα παρὰ πᾶσι τοῖς ἔθνεσιν, ἑλληνικόν, οὗ τὰ παρὰ πᾶσιν ᾀδόμενα ἔργα μικροῦ καὶ αὐτὴν τὴν ψάμμον ὑπερβαί-

[1] Ἔξοδ. κη', 4, 15.
[2] Ὀδυσ. Μ, 3.
[3] Παρὰ τὸ δαβιτικόν: «Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ» [Ψαλμ. νδ', 8.].
[4] Πινδ. Πύθ. θ', 90.
[5] Ἴσως ἐγέγραπτο: εἴπερ τις καὶ ἄλλος.
[6] Ἐπιστ. ΞΒ'.

νουσιν· ἐξ αὐτοῦ γὰρ καὶ πόλεις ᾠκίσθησαν, καὶ βασιλεῖαι ἀνεφάνησαν, καὶ πόλεις κατεστάθησαν, καὶ νόμοι ἐκομίσθησαν, καὶ παιδεῖαι ἐβλάστησαν, καί, ἵνα συνελὼν εἴπω, ἡ ὑφήλιος πᾶσα ἐφωτίσθη. Τίνες γὰρ οἱ Κεκροπίδαι καὶ Αἰακίδαι, Θησεῖς δέ τε καὶ Ἀτρεῖδαι, Πύρροι τε καὶ Μακεδόνες, καὶ ὅσοι ἄλλοι οἱ τοῖς στρατηγικοῖς διαπρέψαντες, καὶ μικροῦ δεῖν μονάρχαι τῆς οἰκουμένης χρηματίσαντες; Τίνες οἱ Σόλωνες καὶ Λυκοῦργοι καὶ ἡ λοιπὴ σειρὰ τῶν ἐπὶ νομοθεσίᾳ κλέος οὐ μικρὸν ἀραμένων, ὡς πόλεις ἀνορθωσάντων, καὶ τοῖς ἀνθρώποις εὐζωΐαν πρυτανευσάντων; Τίνες οἱ Ὅμηροι καὶ Ἡσίοδοι, Εὐριπίδαι τε καὶ Φωκυλίδαι τε, οἱ κλάδους ἑλικωνίτιδας δρεψάμενοι καὶ τούτων γευσάμενοι ὅσα καὶ μέλιτος, τό τε τῆς ἀμβροσίας νέκταρ πηγάσαντες καὶ τὴν ὑπ' οὐρανὸν κατακλύσαντες; Τίνες οἱ Πυθαγόραι καὶ Πλάτωνες, Ἀριστοτέλεις καὶ Ζήνωνες, Δημόκριτοί τε καὶ Ἡράκλειτοι, Ἀρχιμῆδαί τε καὶ Εὐκλεῖδαι, οἱ τὴν φύσιν τῶν ὄντων ἐξακριβώσαντες, καὶ γραφῇ ταῦτα παραδόντες, καὶ πᾶν τὸ περίγειον ἐνδιαίτημα σοφίσαντές τε καὶ κατακοσμήσαντες; Ἆρ' οὗτοι πάντες, καὶ οἱ ἀριθμῷ περιληφθῆναι ἀμήχανον, οὐ τῆς Ἑλλάδος γενναῖα γεννήματα καὶ θρέμματα; Αὕτη μήτηρ καὶ τροφὸς Μουσῶν ἀναδέδεικται· αὕτη ἑστία τῶν λόγων καλεῖσθαι ἀντάξιος διὰ τὴν ἐν τοῖς λόγοις δύναμιν καὶ παντοίας ἐπιστήμης ἰδέαν, εἴ γε τοσαύτην πληθὺν τῶν διανοίας ὀξύτητι καὶ φύσεως ἀξιαγάστῳ τέχνῃ διεννενοχότων ἤνεγκεν, ὥστ' ἐπὶ τῇ εὐκληρίᾳ τῶν ἀνὰ πᾶσαν τὴν γῆν ἐθνῶν τὰ πρωτεῖα φέρειν, πάσης τέχνης διελθοῦσαν ἐπιμελῶς καὶ δαιμονίως προαγαγοῦσαν εἰς μέγεθος. Ἦν ἄρα ἐντεῦθεν ἰδεῖν εἰς τὰς τῆς ὑφηλίου λήξεως τοῦ κλέους ἀναδραμόντος ἐσχατιάς, τοὺς μὲν ἐξ ἑῴας, τοὺς δὲ ἐξ ἑσπερίας, ἄλλους δὲ ἐκ μεσημβρίας, ἔστι δ' οὓς καὶ ἐξ αὐτῆς τῆς Ταυρικῆς χερσονήσου πληθηδὸν συῤῥέοντας τῷ τῆς σοφίας δίψει συνεχομένους, ἐκ τῆς ἀκενώτου πηγῆς ἀρυσομένους· ὧν οἱ μὲν εὐγνώμονες ἀπέβησαν, εὐκαίρως τὰ τροφεῖα καταβαλόντες· οἱ δὲ λακτίσαντες τὴν τῶν λόγων μητέρα τε καὶ τροφόν, αὐχοῦσί τε τό γε νῦν εἶναι καὶ μεγαλοῤῥημονοῦσιν, ὡς δὴ τὴν σοφίαν, τῶν σπερμάτων δῆθεν προκύπτουσαν παρὰ τῶν Ἑλλήνων ἀναλαβόντες ἐγαλούχησαν, ἐψώμισαν, καὶ ἐπὶ τὰ τῆς ἡλικίας προήγαγον τελεώτατα. Παρίημι τὸν τῶν φιλοσόφων χορόν, τὰ τῶν αἱρέσεων συστήματά τε καὶ κόμματα, τῆς ἀριστοκρατίας, τῆς δημοκρατίας[1], καὶ ὅσα ἐπιλείψει με ἡ ἡμέρα διηγούμενον, ἅπερ οὐκ ὀλίγοι συνέγραψαν, βίβλους ὅλας τὰς ἐπὶ τούτοις συνταξάμενοι.

[1] Γραπτ. ἴσως: τὰς ἀριστοκρ., τὰς δημοκρ.

Ἀπὸ δὲ[1] τοιούτου καὶ τηλικούτου γένους ὁρμωμένη, οὐ τοσοῦτον πρὸς τὸ λαμπρὸν ἀπεῖδε τοῦ γένους, ὅσον πρὸς τὴν ἐκείνου ἀρετήν τε καὶ φιλομάθειαν. Διά τοι τοῦτο καὶ τὸν τῶν Μακεδόνων μέγαν ἄνακτα ὑπεράγαμαι, τοῖς οἰκείοις ἕκαστον ἀριστεύμασι καὶ μὴ τοῖς ἀλλοτρίοις εἰπόντα θαυμάζεσθαι.

Πατρὶς δὲ αὐτῇ ἡ νῆσος τῆς Πάτμου, ἡ πάλαι περιφανὴς καὶ διάσημος, δι' ἧς ἔφθη ἐκεῖσε ὁ ὑψιπέτης νοῦς τῆς θεολογίας Ἰωάννης διατριβὰς[2] ποιησάμενος, ὑπερόριος γενόμενος· ἔνθεν καὶ τὸ ἱερὸν αὐτοῦ Εὐαγγέλιον ἐξεβρόντησε, τῶν ἐκεῖσε ἀξιωσάντων ἐγγράφως παραδοῦναι αὐτοῖς τὸν τῆς πίστεως λόγον, οὐχ ἧττον δὲ καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις· ἥ γε, ἀκαδημίας, καὶ λυκείου, καὶ ποικίλης στοᾶς τὰς πύλας συζευξάντων[3], καὶ ἀφωνίᾳ μεγίστῃ συσχεθεισῶν, διὰ τὴν παντελῆ τῆς σοφίας ἔλλειψιν, τῶν ἡμετέρων κατ' ἐκεῖνο καιροῦ γόνυ καμψάντων καὶ ζυγῷ δουλείας οἴμοι βαρυτάτης ὑποπεπτωκότων, πάσας θύρας ἀναπετάσασα ἄφθονον παρεῖχε τὰ νάματα τοῖς ἁπανταχόθεν θαμίζουσι διψαλέων δίκην ἐλάφων, αὐχοῦσά τε καὶ σεμνυνομένη ἐπὶ τῇ σχολαρχίᾳ Μακαρίου, Γερασίμου, καὶ Βασιλείου (ὧν τὸ κλέος ἀΐδιον ὁ ἐς ἀεὶ παραπέμψει χρόνος), ἄντικρυς πηγὴ πολυχεύμων ἀναδέδεικται, ἧς οἱ κρουνοὶ ἀκονιτὶ ῥέοντες τὰς διακεκαυμένας καρδίας κατέψυχον. Ἐντεῦθεν ἡ Ἑλλάς, τὴν προτέραν ἀποκειραμένη δόξαν, ὡς ὁ Σαμψὼν τὸν βόστρυχον[4], πάλιν ἀνεκαλεῖτο καὶ ἀνελάμβανε τὴν ἀρχαίαν καλλονήν, προβαίνουσά τε καὶ προχωροῦσα, καὶ ἐκ δυνάμεως καθ' ἑκάστην πορευομένη εἰς δύναμιν. Καὶ τοῦτο οὐ λόγος ἀμάρτυρος, ἀλλ' ἅπαν τὸ Αἰγαῖον, ἥ τε καθ' ἡμᾶς βασιλεύουσα, καὶ οἱ ἐκεῖθεν τοῦ Ἴστρου Δάκες πανταχόσε φοιτῶντες μυρίοις καταστέφουσι τοῖς ἐπαίνοις, χρέος ἀποπληροῦντες πάντων χρεῶν δικαιότατον. Παρίημι τοὺς νεοθαλεῖς αὐτῆς ὅρπηκας, ὅσοι ἀνὰ πᾶν μέρος περιερχόμενοι, οὐχ ἧττον σοφίας ἢ ἀρετῆς τεκμήρια παρεμφαίνουσιν, ἐπεὶ ἀριθμὸν νικῶσι καὶ ὑπερπαίουσι.

Γεννήτορες δὲ αὐτῇ (σύγγνωθί μοι, ὦ θεία καὶ σεβασμία μοι κορυφή, τὸν ὀφειλόμενον ἐνταῦθα δι' ἄγνοιαν σμικρύνοντι ἔπαινον, προσεπιθεῖσα παρ' αὐτῆς τῷ λόγῳ τὰ δέοντα. Ἔγωγε γὰρ οὐ μικρᾷ φρίκῃ συνέχομαι μὴ τῆς ἀξίας τῶν ἀνδρῶν οὐκ ἐφικόμενος γέλωτος ὀφλήσω γραφήν· ἀλλ' ἐπεὶ **ἐκ τοῦ καρποῦ τὸ δένδρον γνωσθήσεται,** τὸ ἱερὸν δια-

[1] Ἴσως ἐγέγραπτο: δ ή.
[2] Ἐξεῤῥύη ἴσως τὸ ἄρθρον: τ ά ς
[3] Γραπτ. ἴσως: σ υ ζ ε υ ξ α σ ῶ ν.
[4] Ἴδε Κριτ. ις', 19.

κελεύεται λόγιον [1], ἔνεστί μοι τὸν καρπὸν καθορῶντι καὶ τὸ δένδρον τεκμήρασθαι)· γεννήτορες φημὶ αὐτῇ ἀρετῇ καὶ θεοσεβείᾳ διαπρέποντες, καθ' ἑκάστην ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἐσχόλαζον, συζυγία ἔνθεος, θεοφιλής, μακαριστή, ἀντιλαμβανόμενοι ἐν ἀνάγκαις κατεπειγούσαις καὶ ἀλλήλοις ἀντιδιδόντες τὰ πρόσφορα, ὁλοψύχως τῇ πρὸς Θεὸν ἀγάπῃ πίστει τε καὶ τῇ τοῦ βίου καθαρότητι αὐτὸν ἐξιλεοῦντες, καὶ τὴν ἐν Εὐαγγελίοις διαταττομένην ζῶντες ζωήν, καὶ τῆς ἀνεκλαλήτου χαρᾶς τὴν ἀντιμισθίαν ἀπεκδεχόμενοι οὐδὲ ἐνταῦθα ἀπέτυχον, ὡς τοῦ καρποῦ αὐτῶν εἰς τὴν ὑψηλοτάτην περιωπὴν ἀχθέντος.

Τρισμάκαρες μὲν αὐτῇ γε

εἶπεν ἂν Ὅμηρος [2],

πατὴρ καὶ πότνια μήτηρ,
. . . . μάλα πού σφισι θυμὸς
αἰὲν εὐφροσύνῃσιν ἰαίνεται εἵνεκ' αὐτῆς
λευσσόντων τοιόνδε θάλος θεῖον χορὸν εἰσοιχνεῦσαν.

Καὶ ταῦτα διῆλθον, οὐχ ἵνα προσθήκην εὐδοξίας ποιήσαιμι· οὔτε γὰρ θάλασσα δεῖται τῶν εἰσρεόντων εἰς αὐτὴν ποταμῶν, κἂν ὅτι πλεῖστοι καὶ μέγιστοι ἐκβάλλωσιν, οὔτε τῶν εἰσοισόντων τινὸς πρὸς εὐφημίαν ἡ νῦν εὐφημουμένη θεσπεσία κεφαλή, ἀλλ' ἵνα ἐπιδείξαιμι ὅτι δένδρων ἀγαθῶν καρπὸς ἀγαθώτερος. Γεννᾶται τοίνυν ἐκ τοιούτων θεοσεβῶν τε καὶ θεοφιλῶν, καὶ ***σπαργανοῦται, καὶ διαπλάττεται πλάσιν τὴν ἀρίστην***, φημί, ***καὶ καθαρωτάτην*** [3]· καί γε οὐκ ἀπεικότως· ***ἡ γὰρ τοῦ Θεοῦ μεγάλη βουλή τε καὶ πρόγνωσις, οἶδε τοὺς λαοῦ προστήσεσθαι μέλλοντας, ἀνθ' ὅτου πόῤῥωθεν προκαταβάλλεται τῶν μεγάλων πραγμάτων τὰς ὑποθέσεις***, ὡς φησιν ὁ τῆς θεολογίας ἐπώνυμος [4]. Οἱ δὲ μᾶλλον θεοσεβείᾳ ἢ γάλακτι ἐξεθρέψαντο, θεμέλιον πολιτείας ἐνθέου ταύτην καὶ διδαχθέντες καὶ ἐκδιδάξαντες. Τὸ δὴ τῆς ἡλικίας ἁπαλὸν ἀμειψαμένη, καὶ οἱονεὶ εἶναι ἐς κάλλος προβαίνουσα καὶ μέγεθος (ὃ δὴ εἶπεν ἂν ἰδὼν Ὅμηρος [5] ***ἀγλαόκαρπον***, καίτοι τοὺς καρποὺς ἐγκυμονοῦν καὶ τῆς καλλιεργίας τὸν φυτουργὸν ἐμακάρισε), καὶ εἰς τοὺς παιδαγωγοὺς φοιτῶσα τὰ ἱερὰ ἐξεπαιδεύετο

[1] Ματθ. ιϛ', 33.
[2] Ὀδυσ. Ζ, 154-57.
[3] Αἱ λέξεις αὗται μετελήφθησαν ἀπὸ τοῦ ἀνωτέρω μνημονευθέντος Ἐπιταφ. εἰς Μ. Βασίλ. ιϛ'.
[4] Λόγ. εἰς Μ. Ἀθανάσ. γ'.
[5] Ὀδυσ. Η, 115.

γράμματα. Ἐντεῦθεν, οὐχ ὡς τῶν νέων δυςάγωγοί[1] τε καὶ ἄφρονες ἐν ἀθύρμασι τὸν χρόνον κατέτριβεν, ἀλλὰ τοῖς παιδαγωγοῖς πειθομένη, καὶ τὰς ἐκεῖσε ὑποθήκας ἐς βάθος τῆς καρδίας εἰςδεδεγμένη, καὶ πᾶν τὸ ὑπ' αὐτῶν κελευόμενον εὐπειθῶς καὶ ἀγογγύστως ἐργαζομένη, οὐκ εἰς μακρὰν ἐξεπαιδεύθη ἃ τοῖς πρωτοπείροις τῶν νέων ἐκμανθάνειν σύνηθες. Πῶς γὰρ οὔ; ὁπότε ἐξ αὐτῶν τῶν σπαργάνων τῇ τῆς ἡλικίας προόδῳ σύνδρομον καὶ τῆς ἀρετῆς ἐποίει τὴν αὔξησιν; τῆς δὲ παιδικῆς ἡλικίας ἐπιβᾶσα παιδείας τῆς ἐλευθέρου ἀντεποιήθη, καὶ ταύτην πάντων τῶν τῇδε δοκούντων ἀγαθῶν προῃρετίσατο· τὸ σολομώντειον ἐκεῖνο, τό: «*Ἀρχὴ σοφίας φόβος Κυρίου*»[2] ἀείποτε πρὸ ὀφθαλμῶν ἔχουσα βάσιν τε καὶ κρηπῖδα τῇ παιδείᾳ ἐτίθετο, ἣν *τιμιωτέραν λίθων πολυτελῶν* καὶ ἀνωτέραν *ἢ χρυσίου καὶ ἀργυρίου θησαυροὺς ἐμπορεύεσθαι* ἡγουμένη ἀραρότως ἠπίστατο, ὡς οὐδὲν αὐτῇ ἀντιτασσόμενον, ὅτι *ἐν μὲν τῇ δεξιᾷ αὐτῆς μῆκος βίου καὶ ἔτη ζωῆς, ἐν δὲ τῇ ἀριστερᾷ πλοῦτος καὶ δόξα*[3]. Ἔνθεν τοι ἀδιαλείπτως εἰς διδασκάλους φοιτῶσα, καὶ τοῖς τῶν ἀνδρῶν ἐλλογίμοις συγγινομένη ἀπρὶξ τῆς παιδείας ἀντείχετο, ἐν ᾗ τάχει τε καὶ μεγέθει φύσεως οὐδ' ἂν εἴποι τις ὅσον τοὺς πάντας ὑπερέβαλε· καὶ καθάπερ ἀροτὴρ ἢ γηπόνος ἰσοσθενεῖ τῇ προθυμίᾳ τὴν ἄρουραν τέμνων καὶ σπείρων πολύχουν ἀμᾶται τὸν καρπόν, οὕτω καὶ αὐτὴ ἀτρύτῳ φιλοπονίᾳ καὶ ἀνενδότῳ, καὶ μελέτης ἀκμῇ καὶ φύσεως ὑπερφυοῦς τινος χρησαμένη καὶ τόνῳ καὶ τάχει, ἀπὸ τῶν ἐν ποσὶ καὶ χθαμαλωτάτων διὰ τῶν ἑξῆς μέσων καὶ τῶν ἀεὶ ἀνωτέρων βαθμηδὸν[4] χωρήσασα ἔστη τέως ἐπ' αὐτὴν τῶν νοητῶν τὴν ἀκρώρειαν.

Τὰ μὲν δὴ πρῶτα τοιαῦτα, οἷα εἰκὸς τοῖς εὖ γεγονόσιν ὀρθῶς τε βιώσασθαι καὶ λαοῦ προστήσεσθαι μέλλουσι. Παρατρέχω τὰ ἐν μέσῳ, κάλλος, φημί, καὶ μέγεθος, καὶ ἀνδρείαν σώματος, καὶ ὥραν, καὶ δόξαν ἐπίκαιρον, καὶ πλοῦτον ἀπατηλόν, καὶ ἀγαθὰ πρόςγεια καὶ ῥέοντα, ἐφ' οἷς οἱ πολλοὶ κεχήνασιν (ἃ δὴ πάλαι ἡ γενναία αὐτῆς ψυχὴ κατεπάτησε καὶ εἰς οὐδὲν ἐλογίσατο ὡς τύχης δῶρα, τὸν τῆς ψυχῆς ἀναφαίρετον πλοῦτον ἀσπασαμένη, ἵνα ἐπὶ τὰ καιριώτερα τὸν λόγον καὶ δὴ τρέψωμεν). Ὡς δὲ εἰς ἄνδρας ἀνεγράφη, τῷ διορατικῷ τοῦ νοὸς τὸ μὲν καταπεπατημένον τοῦτο πολιτικὸν καὶ ἀγοραῖον κρίνασα ἀνακρίνασά τε καὶ κατακρίνασα διέπτυσεν, ἑταιρείας δὲ ἀτάκτους

[1] Ἴσως ἐγέγραπτο: οἱ δυςάγωγοι.
[2] Παροιμ. θ', 10.
[3] Αὐτόθι γ', 14-16.
[4] Γραπτέον οἶμαι: βαθμίδων.

καὶ *ὁμιλίας ἤθη χρηστὰ λυμαινομένας*[1] ἐξέκλινε, τοῖς τε κοσμικοῖς πράγμασι συλλαλεῖν ἢ καὶ ὅλως διδόναι ὀφθαλμὸν ἀπαγορεύσασα τῆς ἀληθοῦς ἐπεμέλετο σωφροσύνης. Ὅθεν καὶ ταῖς ἔξω διατριβαῖς χαίρειν εἰποῦσα, τοῖς θείοις ἐν οἴκοις σχολάζουσα, οἶκον ἑαυτὸν ἄξιον τοῦ Δεσπότου κατασκευάζουσα, καὶ *παραῤῥιπτεῖσθαι ἐν αὐτοῖς μᾶλλον ἢ σκηνώμασιν ἁμαρτωλῶν οἰκεῖν αἱρουμένη*[2], τῷ χρηστῷ ζυγῷ αὐτοῦ ὑπέκυψε, μερίδα ἀγαθὴν τοῦτον ἐκλεξαμένη. Ἐντεῦθεν τὸ πτερὸν τῆς διανοίας τῇ θεωρίᾳ τῶν ὄντων πήξασα, ᾗ δυνατὸν ἀνθρώπῳ, τῆς ὄντως ἐφικέσθαι εὐδαιμονίας ἔσπευδε, νυκτὸς καὶ ἡμέρας προςκειμένη τοῖς ἐκτὸς ὑλικῆς προςπαθείας τὸν ἄνθρωπον μετέωρον φέρουσι, καὶ τῇ τῶν ὁρωμένων καλλονῇ ἀφοσιοῦσι. Ἀλλ' ἐπεί: «*Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι*, τὸ τοῦ Ἀποστόλου[3], οὐ μετρίως αὐτὴν ἔθλιβεν, ἔγνω πολυπλασιάσαι τὸ τάλαντον. Ἐν ᾧ δὲ διετέλει τοῦτο γεωπονοῦσα, οἱ μὲν τῇ σειρῆνι τῆς γλώττης ἡλίσκοντο, γλυκασμοῦ προχεούσης νάματα, οἱ δὲ τὸ τῶν δογμάτων εὐσεβὲς ἠσπάζοντο, ἄλλοι τοὺς πόνους καὶ τὴν περὶ τὰ δεινὰ καρτερίαν ἐθαύμαζον, εἰσὶ δὲ οἳ καὶ τὴν πρᾳότητα καὶ ἀνεξικακίαν δι' αἰδοῦς εἶχον, τοὺς δὲ τὸ ἀνεπιτήδευτον τοῦ τρόπου καὶ φιλόσοφον ἔθελγεν· ἀτεχνῶς ἡ τετρακτὺς τῶν ἀρετῶν αὐτῇ ἐμφιλοχωροῦσα ἐς τὰ μέγιστα ἀνεφαίνετο[4]. Τοσοῦτον καὶ γὰρ αὐτῇ τὸ περιὸν τῆς φρονήσεως, ὥστ' εἰ πᾶσι χρεία ὑποθήκης, εἶχεν ἂν ἑνὶ ἑκάστῳ ἀποδιδόναι τὰ πρόςφορα, ἀσφαλεστάτη ἐν παραινέσεσι τυγχάνουσα, καὶ τὸ δέον ξυνιδεῖν μᾶλλον ἄλλου παντὸς ποριμωτάτη, ἃ μόνα χαρακτηρίζειν πέφυκε τὴν τελεωτάτην ἐν ἀνθρώποις εὐγένειαν. Καὶ τί δεῖ μακρηγορεῖν τὸ ὑπερβάλλον ἐπιδεῖξαι τῆς ὑμετέρας φρονήσεως ἀγωνιζόμενον; τὰ γὰρ ἐκείνης ἀποτελέσματα ἀνδριάντες ὑπάρχουσι, κλέος φέροντες ἄληστον. Τὸ δὲ τῆς σωφροσύνης αὐτῆς ἀπαράμιλλον, εἴ περ αἱ τῆς Πιερίας Μοῦσαι συνήρχοντο, καὶ παρ' ἑαυτῶν ἔρανόν τινα κατέβαλλον, εἶχον ἂν ἐπαινέσαι προςφυέστατα· καθαρῷ γὰρ ἁπτέον μόνον τοῦ καθαροῦ, ὁ σοφὸς Πλάτων ἀπεφήνατο[5]. Ταύτῃ τοι

[1] Παρὰ τὸ Μενάνδρου τοῦ κωμικοῦ: «Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί», ὥπερ καὶ ὁ Ἀπόστολος ἐχρήσατο [Α' Κορ. ιε', 33]. Ἔστι δὲ ἐκ τῶν λειψάνων τοῦ δράματος Θαΐδος.

[2] Παρὰ τὸ ψαλμικὸν πγ', 11.

[3] Α' Τιμ. δ', 14.

[4] Περὶ τῆς παρὰ Συνεσίῳ ['Επιστ. ΡΝ'.] τετρακτύος τῶν ἀρετῶν ἔπιθι τὰ αὐτόθι ὑπὸ Νεοφύτου τοῦ Καυσοκαλυβίτου ἐν πλάτει σημειούμενα, ἔκδ. Γρηγ. Κωνσταντᾶ. Βιέν. ͵αψϟϐ'.

[5] «Μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ» [Φαιδ. ια', σελ. 69.].

ἀφασίᾳ τοῦτο τὸ μέρος παρέρχομαι· τὴν ὑπερβάλλουσαν[1] αὐτῆς ἀνδρίαν εἰς μέσον ἀγαγὼν κατατρυφήσω τῷ διηγήματι. Ἀλλὰ πῶς ἡ ἐμὴ ψελλίζουσα γλῶσσα ἐξισχύσει ἀφηγήσασθαι; Ἡνίκα ἐν τοσαύτῃ ἦν τὰ τῆς Ἑλλάδος καταπτώσει ὑπό τε τῆς ἐλεεινῆς φορᾶς καὶ περιστάσεως τῆς ἄνω καὶ κάτω κυκώσης καὶ φερούσης τὰ πράγματα, καὶ τῆς τῶν κρατούντων τῆς τυραννίδος ὠμότητος, οὐ μόνον ζῆν ὑπὲρ τὰ ὁρώμενα ἔφθη φιλοῦσα, ἀλλὰ καὶ τὸν ἀπαραίτητον ζυγὸν τῆς δουλείας ἀπέπτυσε, καὶ ἐν τοσούτοις καὶ τηλικούτοις δεινοῖς εὔελπις γέγονεν εἰς τὰ τῆς φιλοσοφίας ἀνελεύσεσθαι ἀνακτόρια, μηδενὸς τῶν ἐμποδὼν ἱσταμένων φροντίσασα, ἃ δὴ πολλὰ καὶ μεγάλα παρεμπίπτειν εἴωθεν, καὶ τὰς τοιάσδε πανδαισίας καθελεῖν τε καὶ ἀνατρέψαι ἄρδην ἢ κἂν διασεῖσαι καὶ διαταράξαι μάλα διὰ σπουδῆς ἔχειν, ἵνα μὴ πάνυ ἀδεῶς οἱ ταύτης τρυφῶντες ἔχωσι, ταύτης τῆς ὑπερβαλλούσης ἀνδρίας, εὐγενοῦς καὶ γενναίας φύσεως μέγιστον τεκμήριον τίθεμαι. Τὸ δὲ καὶ τοσαῦτα καταθαῤῥῆσαι πελάγη, τοσούτους κινδύνους τε καὶ πόνους ὑπενεγκαμένην, ἵν' ἀρετῆς ἐπήβολος γένηται, καὶ ἄλλοις μεταδῷ τοῦ ἐνόντος ἀντὶ[2] πλούτου, δεῖγμα ψυχῆς περιπολούσης τὸν οὐρανὸν καταφαίνεται. Τοῦτο τοῖς γε νοῦν ἔχουσιν ὑψηλόν τοῦτο τοῖς εὖ φρονοῦσι τὸ τιμαλφέστατον. Ἐκεῖνο δέ, ὅτι καὶ εἰς τέλος τὴν θήραν καὶ ὃν ἦρεν ἀγῶνα ἤγαγε, διὰ πάσης, ὡς ἔπος εἰπεῖν, ἐλευθέρας παιδείας ἐλθοῦσα, καὶ εἰς αὐτὴν ἀναδραμοῦσα τῶν ἀρετῶν τὴν ἀκρόπολιν, καὶ πολλοὺς ἄλλους εἰς ταύτην χειραγωγήσασα, ἡ[3] τοῦ παντὸς θείην ἂν ἔγωγε, εἴ γε: «***πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι***[4]». Καὶ ταῦτα μὲν ἐν αἷς[5] διετέλει δεικνύουσα τὰ τῆς ψυχῆς ἀναφαίρετα κτήματα, οἵα τις ναῦς φορτηγὸς παντοδαπῶν ἀγωγίμων γενομένη. Ὅτε δὲ μέγας πρωτοσύγκελλος τοῦ παναγιωτάτου ἐγένετο, τότε δὴ τότε ἑκασταχόσε ἤρξαντο ῥέειν αἱ τῆς θέμιδος χάριτες· ***ὑπεροψία κερδῶν, ἃ δοκεῖν εἶναι νόμιμα πεποίηκεν ἡ συνήθεια,*** ὥς φησιν ὁ ἐν φιλοσόφοις Συνέσιος[6], δίκη ἀντίῤῥοπος τὸ ἴσον ἑκάστῳ θαλαττεύουσα, ἀρωγαὶ ἀδικουμένων καὶ δικαιώσεις, ἀντιλήψεις πολεμουμένων, ἐπιστηρίξεις πεπτωκότων, χειραγωγίαι τυφλῶν, πεπλανημένων ἐπιστροφαί, ὀρφανῶν διοικήσεις

[1] Ἐξεῤῥυηκέναι δοκεῖ ὁ σύνδεσμος: δ έ.
[2] Γραπτέον οἶμαι : α ὐ τ ῇ.
[3] Περιαιρετέον τὸ ἄρθρον, ἢ γοῦν τρεπτέον εἰς τὸ : ὡ ς.
[4] Πλάτ. Φαίδ. ιγ', σελ. 69.
[5] Γραπτέον οἶμαι : ο ἷ ς.
[6] Ἐπιστ. ΞΒ'.

καὶ προστασίαι, ἀπόρων εὐπορία, λύσεις πεπεδημένων, τῶν ἐν ὑπερορίᾳ ἀνακλήσεις, καὶ ἅπερ ὅ τε λαὸς τῆς βασιλευούσης δι'εὐφήμου στόματος καθ' ἑκάστην ἄγει, καὶ ἡ ὡς πορρωτάτω διϊπταμένη φήμη τρανῶς καταγγέλλει. Ἐντεῦθεν ἀριδήλως παρίσταται, ὅτι: «*Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου*» [1].

Τοῦ γοῦν τὰς πνευματικὰς ἡνίας ἐπιτετραμμένου ἁγίου Κυζίκου τῆς ἀμείνονος λήξεως γενομένου, καὶ τοῦ πρώην ἁγίου Ἀγχιάλου ἐπὶ τὴν Κύζικον μετατεθέντος, κἀν τούτοις λύκου τινὸς εἰςπηδῆσαι τῇ ποίμνῃ ἤδη χηρευούσῃ ὠρυομένου, ἀξιώσει τοῦ παναγιωτάτου, ψήφῳ τε κανονικῇ τῆς ἱερᾶς Συνόδου καὶ προτροπῇ τῶν εὐγενῶν ἀρχόντων καὶ τοῦ εὐαγοῦς κλήρου, ἡ ὑμετέρα πανιερότης προχειρίζεται, διὰ τὸ ἐν αὐτῇ ἱεροπρεπὲς καὶ σεβάσμιον, κόσμιόν τε καὶ σῶφρον, ἱλαρόν τε καὶ δίκαιον, πολιόν, ἀνεπίληπτόν τε καὶ δόκιμον ἐν αἷς κατὰ καιροὺς ἐγκεχείρισται ἐκκλησιαστικαῖς λειτουργίαις καὶ διοικήσεσι· καὶ κλίνασα κορυφήν, καὶ ὑποταγεῖσα τῇ ἀμώμῳ νύμφῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, *ἣν περιεποιήσατο τῷ ἰδίῳ αἵματι* [1], δέχεται τὴν ἀρχιερατείαν οὐ μᾶλλον παρὰ τῶν διαληφθέντων ἢ ἐκ χειρὸς Κυρίου, τῶν προαγωνισθέντων αὐτῇ πόνων ἔπαθλον καὶ ὕλην δαψιλεστέραν τῶν θεαρχικῶν ἐκλάμψεων. *Φῶς ἄρα δικαίοις διὰ παντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν* [2]· οἵα γὰρ ἡ διακαὴς καὶ ἔνθερμος αὐτῇ ἀγάπη πρὸς τὴν τῶν ἀγαθῶν ἐπίδοσιν, τοιαύτη πρέπουσα αὐτῇ ὑπόθεσις θεόθεν πεπόρισται· ἡ γὰρ τοῦ Θεοῦ κρίσις, ὥς φησιν ὁ θεῖος Βασίλειος [3], ταῖς ἡμετέραις διαθέσεσιν ἀφομοιοῦται· ἀλλ' ἔστιν ἄρα τῷ καὶ μικρὸν ἐπιστήσαντι ἐντεῦθεν κατιδεῖν, ὅτι κόλασις μὲν ἀδικίας [4], πρυτανεύσει δὲ τοῖς ἀδικουμένοις τὸ δίκαιον· ἐπάξει καὶ αὐτῇ τῇ αὐχμώδει γῇ τῆς εὐφορίας τὸν πλοῦτον· φυτεύσει τῆς ἐγκρατείας τὴν ἄμπελον· ληνοπατήσει τῆς ὑγιείας τὸν βότρυν· δαψιλὲς ἐκχύσει τὸ οὐράνιον γλεῦκος· *ζητήσει τὸ ἀπολωλός· συνάξει τὸ πεπλανημένον*· περιθάλψει τὸ ἀσθενές· *ἰάσεται τὸ συντετριμμένον* [5]· ἀνορθώσει τὸ

[1] Σοφ. Σολομ. ε', 16—17.
[2] Πράξ. α', 28.
[3] Παροιμ. Σολομ. ιγ', 9 κα', 21.
[4] Νοεῖ ἴσως ἐνταῦθα τό: «Οἷον γὰρ εὕρω σε, τοιοῦτόν σε κρινῶ» [Ἐπιστ. ΜΒ' Πρὸς Χίλωνα].
[5] Ἐλλιπὴς ὁ λόγος δοκεῖ.
[6] Γραφικὰ καὶ ταῦτα ἐκ τοῦ Ἰεζεκ. λδ', 16. — Ἡσ. ιγ', 14 καὶ ξα', 1.

πεπτωκὸς νῦν μὲν καταδέσμοις, νῦν δὲ ἐλαίῳ, ἄλλοτε δὲ οἴνῳ χρωμένη, καὶ οἷς ἄλλοις ἡ πνευματικὴ ποιμαντικὴ καταρτίζεται, καὶ οὕτω τὴν ἐμπιστευθεῖσαν αὐτῇ λογικὴν ποίμνην ἄσπιλον καὶ ἄμωμον παραστήσει *τῷ θρόνῳ τῆς μεγαλωσύνης*[1]. Καὶ τούτων τεκμήριον ἐναργέστατον καταφαίνεται ἐξ αὐτῆς τῆς βαλβῖδος, εἴ γε ἅμα τῇ τοῦ θρόνου ἐπιβάσει παιδείας ἐφρόντισε μεταδοῦναι τοῖς θεόθεν αὐτῇ κληρωθεῖσι προβάτοις λογικοῖς, δι' ἧς ἡ ἀνθρώπινος φύσις βελτιοῦται, ἤθη ῥυθμίζεται, γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων πορίζεται, πίστις διδάσκεται κρατύνεταί τε καὶ καταγγέλλεται, εὐζωΐα τοῖς ἀνθρώποις μνηστεύεται, εὐνομίαν χορηγεῖται, καὶ συνελόντι, πᾶσα ἀρετὴ ἐπιδίδοται μονονοὺ βοῶσα: «*Δράξασθε παιδείας μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας*»[2]. Τίς οὖν οὐ θαυμάζει τὸν διάπυρον αὐτῆς ζῆλον, ὃν ἔσχε περὶ τοιούτου ἐγχειρήματος; Τίς γλῶσσα ἐξαρκέσει τοὺς ὀφειλομένους αὐτῇ ἐπαίνους ἀποτῖσαι; Τίς ὅλως διστάζει ὅτι οὐ κατεπέμφθη ἄνωθεν ἐπ' αὐτὸ τοῦτο ἡ θεσπεσία αὐτῆς κορυφή, ἐφ' ᾧ χειμῶνα κατευνάσαι ψυχώλεθρον καὶ σκότος ἀγνοίας καὶ ἀμαθίας διασκεδάσαι; Καὶ μὴν οὐδ' ἐκεῖνο παραλιπεῖν ἄξιον, ὅτι ὁπότε Θεοῦ εὐδοκοῦντος ἡ ὑμετέρα πανιερότης τοὺς τῆς μητροπόλεως ταύτης πνευματικοὺς οἴακας ἀνεδέξατο, πάντες εὐμενῶς καὶ περιχαρῶς τὴν φήμην ταύτην ἐνεστερνίσαντο, τῇ πανιέρῳ αὐτῆς εἰσόδῳ συνεισελθεῖν καὶ ἀφθονίαν ἀγαθῶν ἡγούμενοι· δι' ὃ καὶ πρὸ τῆς θέας τῆς εὐκταίας πατέρα χρηστόν, ἱλαρόν, εὐμενῆ, συμπαθῆ, εὐπρόσιτον, οἰκτίρμονα ἀπεκάλουν· καὶ οὐδόλως τῆς ἐλπίδος ἐψεύσθησαν, ἅτε τοῦ ἐνόντος αὐτῇ *τῆς χρηστότητος πλούτου*[3] καταφανέντος πόῤῥωθεν.

Τοιγαροῦν, πανιερώτατε πάτερ καὶ δέσποτα, ἐγὼ μὲν ὧν οἶδα κατ' ἄμφω ἐμφύτων ὑμετέρων μαρμαρυγῶν, τὰς μὲν ἀμυδρῶς καὶ οὐχ ὡς ἔδει νῦν εἴρηκα, τὰς δὲ παρὰ πάντα μου τὸν βίον ᾄδων, καὶ βοῶν, καὶ κηρύττων οὐ παύσομαι. Σὺ δέ, ὦ ἄπειρος σοφία τοῦ Θεοῦ, ἡ ἀῤῥήτως τὰ τῇδε διοικοῦσα καὶ διεξάγουσα, *δι' ἧς βασιλεῖς βασιλεύουσιν*[4], ἡγεμόνες ἡγεμονεύουσιν, ἄρχοντες ἄρχουσιν, ἱεράρχαι προχειρίζονται, καὶ δόσις τέλειον[5] καταπέμπεται, ποίησον τὸν πανιερώτατον καὶ θεοπρόβλητον ἡμῶν αὐθέντην καὶ δεσπότην κύριον Ἰωάσαφ ἐν εἰρήνῃ μακροημερεύοντα, θεοφιλῶς καὶ θεαρέστως τὴν ἑαυτοῦ λογικὴν ποίμνην διεξάγοντα, ἐν ἀμέμπτῳ πολιτείᾳ διάγοντα, ἀείποτε

[1] Ἑβρ. η', 1. [2] Ψαλμ. β', 12. [3] Ῥωμ. β', 4.
[4] Παροιμ. η', 15.
[5] Γραπτέον ἴσως: τέλεον.

μελετῶντα τὸν νόμον σου καὶ ποιοῦντα [διὰ][1] τὸ ὄνομά σου τὸ ἅγιον· στήριξον, περιφρούρησον, καὶ διαφύλαξον τὸ τριςόλβιον καὶ ἔνθεον σκῆνος τῆς χριστομιμήτου καὶ θεοπροβλήτου αὐτοῦ πανιερότητος ἄνοσον, εὔθυμόν τε καὶ εὔφημον, ὑγιές, μακρόβιον, πανευφρόσυνον, πάσης τε καὶ παντοίας ἀλγεινῆς καὶ ἀποθυμίου περιστάσεως καὶ περιπετείας ἀνώτερον καὶ ἀπείρατον μέχρι γήρως βαθυτάτου, πρὸς καταρτισμὸν τοῦ ὑπὸ τῆς αὐτοῦ πανιερότητος ἰθυνομένου καὶ ποιμαινομένου χριστωνύμου πληρώματος καὶ ἐκκλησιαστικοῦ συστήματος· τήρησον τὴν αὐτοῦ πανιερότητα ἀκλινῶς ἐγκαθιδρυμένην καὶ ἀστεμφῶς ἐρηρεισμένην ἐπὶ τὸν ὑψηλὸν τουτονὶ θρόνον τῆς ἁγιωτάτης μητροπόλεως Ἀγχιάλου εἰς πολλὰς ἡλίου κυκλικὰς περιελίξεις· διὰ δὲ τῶν πανιέρων καὶ θεοπειθῶν αὐτοῦ εὐχῶν περιφρούρησον διὰ παντὸς τοὺς πανοσιωτάτους καὶ αἰδεσιμωτάτους ἁγίους ἱερεῖς, τοὺς ἐντιμοτάτους κληρικούς, τοὺς τιμιωτάτους καὶ χρησιμωτάτους γέροντας, καὶ ἅπαντα τὸν χριστεπώνυμον καὶ περιούσιόν σου λαόν, ἀξιοῦσα αὐτοὺς σὺν τῷ πανιέρῳ αὐτῶν ποιμένι καὶ τῆς τῶν οὐρανῶν βασιλείας, ἔνθα καταλάμπει τὸ ἀνέσπερον φῶς, ἡ εὐφροσύνη ἡ ἄληκτος, ὁ ἦχος τῶν ἑορταζόντων καὶ βοώντων ἀκαταπαύστως: «*Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.*[2]» Ἀμήν.

Ἰ. Σακκελίων.

ΑΙΤΗΣΙΣ Α΄

ΤΟΥ ΕΛΛΗΝΟΣ ΙΩΑΝΝΟΥ ΓΕΩΡΓΙΟΥ ΡΕΠΕΤΑ[2]

ΤΩι ΤΣΑΡΩι

ΑΛΕΞΙΩι ΜΙΧΑΪΛΟΒΙΤΖ

Τῷ τσάρῳ βασιλεῖ καὶ μεγάλῳ δουκὶ Ἀλεξίῳ Μιχαΐλοβιτζ καὶ

[1] Προςέθηκα τὴν προδήλως ἐκπεπτωκυῖαν πρόθεσιν.

[2] Ἡσ. ς, 3.

[3] Ἀρύομαι ἐκ τῆς «Συλλογῆς γραμμάτων, συνθηκῶν κλπ.» Μόσχα 1819. Τόμ. 6, σελ. 202, αὔξ. ἀρ. 47. Ἡ παροῦσα αἴτησις καὶ τὸ μετ' αὐτὴν βασιλικὸν διάταγμα ἔχουσι χρονολογίαν 1672, Μαρτίου 7 καὶ Μαΐου 18, εὑρίσκονται δὲ ἐν τῷ ἐν Μόσχᾳ ἀρχειοφυλακείῳ τοῦ ὑπουργείου τῶν Ἐξωτερικῶν.

[4] Ὁ ὁμογενὴς ἡμῶν οὗτος, Ἰωάννου Γεωργίου Ῥεπέτας, ὃν οἱ Ῥῶσοι ἀποκαλοῦσιν Ἰβὰν Γιούρμεβ, εἶνε ἐκεῖνος, ὅστις, ὅπως θέλομεν ἴδῃ ἐν τοῖς περαιτέρω δημοσιευθησομένοις ἐγγράφοις, ἐκόμισεν ἐκ Κωνσταντινουπόλεως τῷ τσάρῳ Ἀλεξίῳ Μιχαΐλοβιτζ πωλήσας αὐτῷ ἀντὶ 35,120 ρουβλίων χρυσοῦν διάδημα λιθοκόλλητον καὶ χρυσοῦν μῆλον ἐπίσης κεκοσμημένον διὰ τιμαλφῶν λίθων.

ἁπάσης Μεγάλης Μικρᾶς καὶ Λευκῆς Ρωσίας αὐθέντῃ, δέεται ὁ θεράπων Σου ἐκ Κωνσταντινουπόλεως Ἕλλην Ἰωάννης Γεωργίου.

Κατὰ τὸ παρελθόν, βασιλεῦ, κατὰ τὸ 179 ἔτος ὁ Ἀλεξανδρείας Παίσιος πάπας καὶ Πατριάρχης ἀκουσίως εὑρέθη ἐν Ἀνδριανουπόλει καὶ πολλὰς κακώσεις ὑπὲρ τῆς ἁγίας ἐκκλησίας ὑπέστη, ἔχων δὲ ἀπόλυτον ἀνάγκην ἐδανείσθη ἐν Ἀνδριανουπόλει παρά τινος τῶν ἐγχωρίων κατοίκων χίλια πεντακόσια γρόσια· ἐγὼ δὲ ὁ θεράπων σου ἐγγυήθην δι' αὐτόν, καὶ ἐπὶ τοῦ ὁμολόγου ἐκείνου πρὸς πληρεστέραν ἐπιμαρτυρίαν ὑπεγράφησαν ὁ τῆς Κωνσταντινουπόλεως Πατριάρχης καὶ ἕτεροι πολλοὶ ἀρχιερεῖς καὶ πρὸς σέ, μέγα βασιλεῦ, περὶ τούτου ἐγράφη· καὶ ἐκεῖνος ὁ ἄνθρωπος, παρ' οὗ ἐδανείσθησαν τὰ γρόσια ἐκεῖνα, ἦλθεν εἰς Μόσχαν ζητῶν με καὶ παρενοχλῶν διὰ τὰ γρόσια ἐκεῖνα, λήξάσης ἤδη τῆς διορίας. Ἐλεήμων, βασιλεῦ, καὶ μέγα δοὺξ Ἀλέξιε Μιχαΐλοβιτζ ἁπάσης Μεγάλης, Μικρᾶς καὶ Λευκῆς Ρωσίας αὐθέντα, ἐλέησον τὸν θεράποντά σου, βασιλεῦ, καὶ τὸν Ἀλεξανδρείας πάπαν καὶ Πατριάρχην Παΐσιον, πολλὰ ὑπομείναντα ὑπὲρ τῆς ἁγίας ἐκκλησίας, καὶ τὸν ἐγγυητήν του διὰ τὰ δανεισθέντα παρ' ἐκείνου γρόσια. Τσάρε βασιλεῦ, ἐλέησον!

Διάταγμα τοῦ ὑπουργείου τῶν Ἐξωτερικῶν

Κατὰ τὸ ἔτος τοῦτο τῷ 180 πρὸς τὸν μέγαν βασιλέα τσάρον καὶ μέγα δοῦκα Ἀλέξιον Μιχαΐλοβιτζ ἁπάσης Μεγάλης, Μικρᾶς καὶ Λευκῆς Ρωσίας αὐθέντην ἔγραφεν ὁ πανοσιώτατος Ἀλεξανδρείας Παΐσιος πάπας καὶ Πατριάρχης καὶ κριτὴς τῆς οἰκουμένης, καὶ τὸ γράμμα τοῦτο ἀπέστειλε διὰ τοῦ ἐκ Κωνσταντινουπόλεως Ἕλληνος Ἰωάννου Γεωργίου· ἐν τῷ γράμματι δὲ ἐκείνῳ γέγραπται: Ἕνεκα κατηγορίας τοῦ ἀθέου καὶ ἐπικαταράτου Ἕλληνος Ἀρχίπου ἤχθη ἐξ Ἀλεξανδρείας εἰς Ἀδριανούπολιν σιδηροδέσμιος καὶ ἐξαιτεῖται παρ' αὐτοῦ ὁ ἄθεος οὗτος 70,000 φλωρία καὶ ἕτερα τιμαλφῆ ἀντικείμενα, καὶ κατακρατοῦσιν αὐτὸν ἐν Ἀδριανουπόλει ἐν μεγίστῃ αὐστηρότητι καὶ ζητοῦσι νὰ δικάσωσιν αὐτὸν ὁμοῦ μετὰ τοῦ Ἀρχίπου. Ἐν τῷ αὐτῷ δὲ γράμματι γέγραπται, ὅτι καὶ ὁ Ἰωάννης ὁ ἐπικαλούμενος Ρεπέτας, ὃν ἀπέστειλε κομιστὴν τοῦ παρόντος, πολλαχῶς ἐβοήθησεν αὐτὸν καὶ ἐπροστάτευσε λόγῳ τε καὶ ἔργῳ κατὰ δύναμιν καὶ ἰδίως ἐν τῷ ἑξῆς: ἔλαβεν ἀνάγκην χρημάτων καθ' ὅτι ἐστερεῖτο τῶν πάντων ἐν τῇ εἱρκτῇ καὶ ἕνεκα τῶν καταπιέσεων καὶ τῶν ἀπαιτήσεων τῶν Ὀθωμανῶν ἐγγυητὴς ἐγένετο ὁ Ἰωάννης, καὶ

λαβὼν παρά τινος χριστιανοῦ ἐμπόρου 1500 γιεφίμκα[1] ἐνεχείρισεν αὐτῷ καὶ οὗτος ὁ πανιερώτατος Πατριάρχης ἔδωκεν αὐτῷ ἰδιόγραφον ἀπόδειξιν, δι' ἧς ἐξαιτεῖται ὁ πανιερώτατος Πατριάρχης τὸν μέγαν βασιλέα καὶ τὴν καισαρικὴν αὐτοῦ Μεγαλειότητα νὰ μὴ ἀρνηθῇ αὐτῷ ὁ μέγας βασιλεὺς τὰ ἐλέη αὐτοῦ καὶ φεισθῇ αὐτοῦ ἕνεκα τῆς ἄκρας ἀνάγκης, ἐν ᾗ εὑρίσκεται, καὶ ἐπιδαψιλεύσῃ τὴν χάριν τῆς χειρὸς αὐτοῦ καὶ χορηγήσῃ τὰ χρήματα ταῦτα, καί τοι οὗτος ὁ πανιερώτατος Πατριάρχης καθίσταται ὀχληρός, συνεπείᾳ ὅμως τῆς ἀδίκου ταύτης κατηγορίας προστρέχει τῇ φιλευσπλαγχνίᾳ τοῦ μεγάλου βασιλέως καὶ καισαρικῆς Μεγαλειότητος· ἐξαιτεῖται πάνθ' ὅτι εὐαρεστηθῇ ὁ μέγας βασιλεύς, αὐτὸς δὲ ὁ Θεὸς γινώσκει, ὅτι τὸ πᾶν ἔδωκε πρὸς ἀπολύτρωσιν τοῦ χρέους τοῦ θρόνου αὐτοῦ καὶ εὑρίσκεται νῦν γυμνὸς καὶ ἄνευ τοῦ ἐπιουσίου ἄρτου. Ἅμα δὲ τῇ πληρωμῇ τῶν γεφιμίκων τῷ εἰρημένῳ Ἰωάννῃ Ῥεπέτᾳ, νὰ ληφθῇ παρ' αὐτοῦ τὸ ὁμόλογον καὶ ὅταν ἀποστείλῃ εἰς Μόσχαν ἴδιον αὐτοῦ ἄνθρωπον νὰ ἐγχειρισθῇ αὐτῷ. Τὸ ὁμόλογον δὲ τοῦτο ἔχει ὧδε:

«Ἐλέῳ Θεοῦ Πάπας καὶ Πατριάρχης. Ἡ μετριότης ἡμῶν διὰ τοῦ «παρόντος γράμματος ἀγγέλλει πᾶσιν ὅτι ἔλαβε λόγῳ ὑπηρεσίας καὶ «χρείας ἕνεκεν τοῦ ἀποστολικοῦ καὶ πατριαρχικοῦ θρόνου Ἀλεξαν«δρείας παρὰ τοῦ εὐγενοῦς κυρίου Πέτρου Δημητρίου γρόσια με«τρητὰ 1500, φιλίας ἕνεκεν, ἅτινα χρήματα ὑπόσχομαι νὰ πληρώσω «μετὰ παρέλευσιν τεσσάρων μηνῶν, ἐὰν δυνηθῶ νὰ πράξω τοῦτο, ἐν «ἐναντίᾳ δὲ περιπτώσει θέλω κρατήσῃ αὐτὰ σὺν τῇ προσθήκῃ 10 «τοῖς ἑκατὸν κατὰ τὸ ἐμπορικὸν ἔθιμον. Πρὸς ἀπόδειξιν οὗτινος «ἐγράφη τὸ παρὸν πατριαρχικὸν ὁμόλογον, ὑπογραφὲν ὑπὸ ἐμπίστων «μαρτύρων καὶ ἐνεχειρίσθη τῷ προειρημένῳ Πέτρῳ πρὸς ἐπιβεβαίω«σιν, ἔτι δὲ ὅστις κομίσῃ ἡμῖν τὸ ὁλόκληρον τοῦτο ὑποχρεούμεθα «νὰ πληρώσωμεν τὰ προαναφερθέντα χρήματα ἄνευ ἀντιρρήσεως. «Ἐν ἔτει 1671, Ὀκτωβρίου 25.»

Ἀλεξανδρείας *Παΐσιος*· Ἡρακλείας Μητροπολίτης, μάρτυς· Κυζίκου Μητροπολίτης *Μητροφάνης*, μάρτυς· Νικομηδείας Μητροπολίτης *Νεόφυτος*, μάρτυς· Ἀδριανουπόλεως *Νεόφυτος* Μητροπολίτης, μάρτυς.

Καὶ νῦν τῷ μεγάλῳ βασιλεῖ τσάρῳ καὶ μεγάλῳ δουκὶ Ἀλεξίῳ Μιχαΐλοβιτζ ἁπάσης Μεγάλης καὶ Μικρᾶς καὶ Λευκῆς Ρωσίας αὐθέντῃ, ὁ ἐκ Κωνσταντινουπόλεως Ἕλλην Ἰωάννης Γεωργίου ἐξαιτεῖται.

[1] Οὕτω ἐν Ρωσίᾳ ἐπεκαλοῦντο τότε τὰ ξένα νομίσματα, ἅτινα ἐκυκλοφόρουν ἐν ταῖς ἀγοραῖς αὐτῶν. Ἐνταῦθα ἐννοεῖ ὀθωμανικὰ γρόσια.

Καὶ ὁ μέγας βασιλεὺς τσάρος καὶ μέγας δοὺξ Ἀλέξιος Μιχαΐλοβιτζ ἁπάσης Μεγάλης, Μικρᾶς καὶ Λευκῆς Ρωσίας αὐθέντης τί ὑποδείξει;

Ὁ Γραμματεὺς
ΙΩΑΝΝΗΣ ΕΥΣΤΑΒΙΕΒ

Ἀπόφασις

180, Μαΐου 15 ἡμέρᾳ, κατὰ διαταγὴν τοῦ μεγάλου βασιλέως ὁ βασιλικὸς σύμβουλος Ἀρτέμιος Σεργέϊεβιτζ Ματβαίγιεβ ἀκούσας τὸ ἀνωτέρω διάταγμα ἀπεφάνθη ἐπὶ τῇ βάσει τῆς δεήσεως καὶ αἰτήσεως τοῦ πανιερωτάτου Πάπα καὶ Πατριάρχου κῦρ Παϊσίου Ἀλεξανδρείας καὶ κριτοῦ τῆς Οἰκουμένης ἀφορώσας τὰ ὑπ' αὐτοῦ δανεισθέντα γιεφίμκα νὰ πληρωθῶσι τῷ Ἕλληνι Ἰωάννῃ Γεωργίου ἀνὰ ἥμισυ ἐπὶ ἑκάστου γιεφίμκα, ἤτοι τὸ ὅλον ἀπέναντι χιλίων πεντακοσίων ἑπτακόσια πεντήκοντα ῥούβλια, νὰ πληρωθῶσι δι' ἰκτίδων ἐκ τοῦ ὑπουργείου τῆς Σιβηρίας, καὶ τὸ ὁμόλογον τὸ φέρον τὴν πατριαρχικὴν ὑπογραφὴν νὰ ληφθῇ παρ' αὐτοῦ καὶ διαβιβασθῇ τῷ ἐπὶ τῶν Ἐξωτερικῶν ὑπουργείῳ, καὶ ἐγγράφοντες τὴν ἀνωτέρω πληρωμὴν ἐπ' αὐτοῦ, νὰ πέμψωσι πρὸς τὸν Πατριάρχην διὰ τοῦ παρ' αὐτοῦ ἀποσταλέντος πρεσβύτου, καὶ ἐν τῷ γράμματι νὰ ὑποδείξωσι τῷ Πατριάρχῃ τὴν πληρωμὴν ταύτην τοῦ μεγάλου βασιλέως.

ΑΙΤΗΣΙΣ Β'

ΤΟΥ ΕΛΛΗΝΟΣ ΙΩΑΝΝΟΥ ΓΕΩΡΓΙΟΥ ΡΕΠΕΤΑ[1]

ΤΩι ΤΣΑΡΩι

ΑΛΕΞΙΩι ΜΙΧΑΪΛΟΒΙΤΖ

Τῷ τσάρῳ βασιλεῖ καὶ μεγάλῳ δουκὶ Ἀλεξίῳ Μιχαΐλοβιτζ ἁπάσης Μεγάλης, Μικρᾶς καὶ Λευκῆς Ρωσίας αὐθέντῃ, προσπίπτει ὁ θεράπων σου δύστηνος καὶ ὅλως καταστραφεὶς καὶ λῃστευθεὶς ἐκ Κωνσταντινουπόλεως Ἕλλην Ἰωάννης[2] Γεωργίου. Σοὶ εἶναι γνωστόν, μέγα βα-

[1] Ἀρύομαι ἐκ τῆς «Συλλογῆς ἐγγράφων κλπ.» Μόσχα 1819. Τόμ. 6, σελ. 204, αὔξ. ἀρ. 48.— Ἡ παροῦσα φέρουσα χρονολογίαν 1672, Μαρτίου 7 καὶ Μαΐου 17, εὑρίσκεται ἐν τῷ ἐν Μόσχᾳ ἀρχειοφυλακείῳ τοῦ ὑπουργείου τῶν Ἐξωτερικῶν.

[2] Περίεργον εἶνε ὅτι ἐνταῦθα ἤδη ἀποκαλεῖται ἐν τῷ ῥωσικῷ πρωτοτύπῳ οὐχὶ Ἰβάν, ὅπως ἐν τῷ προηγουμένῳ ἐγγράφῳ, ἀλλὰ Ἰβάσκο, τουτέστιν ἐπὶ τὸ ὑποκοριστικώτερον Ἰωαννίσκος, Γιαννάκης.

σιλεῦ τὸ διὰ τὴν Σὴν Μεγαλειότητα ἔργον μου, τὴν κατασκευὴν διαδήματος καὶ μήλου, πόσα ἐδαπάνησα ἐνταῦθα ἐν Μόσχᾳ, καὶ πόσα χρήματα ἐδανείσθην διὰ τὰ μεγάλα καὶ τιμαλφῆ ἐκεῖνα ἀντικείμενα πληρώνων μεγάλους τόκους, καὶ ὅτι διὰ τὰ ἐν λόγῳ ἀντικείμενα τὸ καισαρικὸν ἔλεός σου ηὐδόκησε νὰ μὲ πληρώσῃ μετὰ σπουδαίων ἐκπτώσεων. Ὅτε ὅμως ἐγὼ ὁ θεράπων σου τῇ βασιλικῇ σου χάριτι ἀπῆλθον ἐκ Μόσχας εἰς Κωνσταντινούπολιν, ἐχθροί μού τινες αἴσχιστοι καὶ μοχθηροὶ ἄνθρωποι ζητοῦντες νὰ μὲ καταστρέψωσιν ὁλοσχερῶς καὶ νὰ μοὶ προξενήσωσιν ἄδικον καὶ ἐπονείδιστον θάνατον, ψευδῶς μὲ κατηγόρησαν ἐνώπιον τοῦ Σουλτάνου τῆς Τουρκίας καὶ τῶν ἐγχωρίων ἀρχῶν καὶ τῶν τιμίων ἀνθρώπων, ὅτι δῆθεν ἐγὼ ὁ δύστηνος ἐστάλην παρὰ σοῦ, μέγα βασιλεῦ, κομιστὴς χρηματικοῦ ποσοῦ ὡς δώρου τῷ Πατριάρχῃ καὶ τοῖς λοιποῖς Ἕλλησιν ἐντὸς ἑκατὸν ὀγδοήκοντα σάκκων φλωρία χρυσᾶ, ὅπως οἱ ἀνωτέρω διάκεινται δυσμενῶς τοῖς Τούρκοις ὑπὲρ σοῦ· καὶ εὐθὺς ὡς ἐγὼ ὁ δύστηνος ἐνεφανίσθην πρὸς αὐτούς, αἱ ἐγχώριαι ἀρχαὶ μὲ συνέλαβον κατακρατήσασαί με μετὰ πάσης αὐστηρότητος, καὶ ἤρξαντο νὰ μὲ ἐρωτῶσι βασανίζουσαι οἰκτρῶς· καὶ ἐγὼ εἰς ταῦτα ὡρκιζόμην παντοιοτρόπως, ἀλλ' οὗτοι οὐδεμίαν ἔδιδον βάσιν εἰς τοὺς ὅρκους μου, κατέσχεσαν ἅπασαν τὴν περιουσίαν μου καὶ τὸν οἶκον μεθ' ἁπάσης τῆς ἀποσκευῆς ἥρπασαν, γυμνὸν δὲ καὶ γυμνόπουν κατέστησαν ἐμὲ τὸν ὀρφανὸν καὶ δύσμοιρον, καὶ τούτου ἕνεκεν ἐζημιώθην πλέον τῶν τεσσάρων χιλιάδων, ἀναγκασθεὶς νὰ δανεισθῶ χρήματα ἐπὶ μεγάλῳ τόκῳ. Καὶ ἅπαντα τὰ δεινά μου ταῦτα καὶ τὰς κακώσεις καὶ τὴν ψευδῆ κατηγορίαν γινώσκει ὁ πανιερώτατος Παΐσιος Πατριάρχης Ἀλεξανδρείας, καὶ περὶ ἁπάντων τούτων τῶν δεινῶν μου καὶ ἁπασῶν τῶν ζημιῶν καὶ δαπανῶν μου πρὸς σὲ τὸν μέγαν βασιλέα ἔγραψεν ὁ Πατριάρχης Ἀλεξανδρείας ἅπασαν περὶ ἐμοῦ τὴν ἀλήθειαν. Ἐλεήμων βασιλεῦ τσάρε καὶ μέγα δοὺξ Ἀλέξιε Μιχαΐλοβιτζ, ἁπάσης Μεγάλης, Μικρᾶς καὶ Λευκῆς Ρωσίας αὐθέντα! λυπήθητί με τὸν θεράποντά σου, τὸν δύστηνον καὶ δυστυχῆ καὶ ὅλως καταστραφέντα διὰ τὰ ἄδικα δεινά μου, καὶ διὰ πᾶσαν καταστροφὴν καὶ διὰ πᾶσαν ζημίαν, χορηγῶν μοι τὴν Σὴν τοῦ Μεγάλου Βασιλέως χάριν, ὅπως τύχω μικρᾶς τινος τοὐλάχιστον ἀναψυχῆς ἐκ τῆς καταστροφῆς, καὶ μὴ εὑρίσκωμαι αἰωνίως ἐν τῷ τάφῳ μετὰ τῆς συζύγου μου καὶ τῶν τέκνων μου, καὶ ἐν τῷ μέλλοντι νὰ σοὶ ἀπονείμω, μέγα βασιλεῦ, ὑπηρεσίας εἰς πάνθ' ὅ,τι δυνηθῶ.

Τσάρε βασιλεῦ, ἐλέησον.

180 Μαρτίου 7 ἡμέρᾳ.

Διάταγμα ὑπουργείου Ἐξωτερικῶν

Κατὰ τὸ παρελθὸν τὸ 170 ἔτος πρὸς τὸν μέγα δοῦκαν Ἀλέξιον Μιχαΐλοβιτζ ἁπάσης Μεγάλης, Μικρᾶς καὶ Λευκῆς Ρωσίας αὐθέντην, ἐκόμισεν εἰς Μόσχαν ὁ ἐκ Κωνσταντινουπόλεως Ἕλλην Ἰωάννης Γεωργίου χρυσοῦν διάδημα κεκοσμημένον πολυτίμοις λίθοις, ἀδάμασι, σαπφείροις καὶ σμαράγδοις καθ' ὁμοίωμα τοῦ διαδήματος τοῦ εὐσεβεστάτου Αὐτοκράτορος τῶν Ἑλλήνων Κωνσταντίνου, τὸ βασιλικὸν κυριαρχικὸν χρυσοῦν μῆλον κεκοσμημένον ἐπίσης λίθοις, ἀδάμασι καὶ σαπφείροις.

Καὶ κατὰ διαταγὴν τοῦ μεγάλου βασιλέως καὶ τσάρου καὶ μεγάλου δουκὸς Ἀλεξίου Μιχαΐλοβιτζ ἁπάσης Μεγάλης, Μικρᾶς καὶ Λευκῆς Ρωσίας αὐθέντου, τὸ διάδημα τοῦτο ἐξετιμήθη ἐν τῷ ὑπουργείῳ τῶν Ἐξωτερικῶν παρὰ τοῦ χρυσοχόου Συμεὼν Γούρjεβ, συναδέλφων αὐτοῦ καὶ ξένων Ἑλλήνων καὶ Γερμανῶν τρίς:

Τὸ μὲν διάδημα	πρὸς 23477	ῥουβλ.
	» 18325	»
	» 16291	»
Τὸ δὲ μῆλον	» 8955	»
	» 11648	»
	» 7917	»

Καὶ κατὰ τὸ παρελθὸν ἔτος 173 Φεβρουαρίου 3 καὶ Μαρτίου 7 κατὰ διαταγὴν τοῦ μεγάλου βασιλέως τσάρου καὶ μεγάλου δουκὸς Ἀλεξίου Μιχαΐλοβιτζ ἁπάσης Μεγάλης, Μικρᾶς καὶ Λευκῆς Ρωσίας αὐθέντου, καὶ κατὰ τὴν ὑποσημείωσιν τοῦ ὑπουργικοῦ γραμματέως Ἰωάννου Ἀλμάζου ἐδόθησαν αὐτῷ τῷ Ἰωάννῃ διὰ τὸ διάδημα ὁ μέσος ὅρος τῆς ἐκτιμήσεως, ἤτοι 18.000 ῥουβλ. εἰς ἰκτίδας καὶ λοιπὰ ἐμπορεύματα, καὶ 325 εἰς ῥούβλια μετρητὰ ἐκ τοῦ ὑπουργείου τοῦ Νόβγοροδ, διὰ τὸ μῆλον δὲ ἡ τελευταία τιμή, ἤτοι 7917 ῥουβλίων εἰς ἰκτίδας καὶ ἕτερα ἐμπορεύματα.

Τὸ ὅλον δὲ ἐδόθη τῷ Ἰωάννῃ ἀμοιβὴ βασιλικὴ διὰ τὸ διάδημα καὶ τὸ μῆλον εἰς ἰκτίδας καὶ εἰς μετρητὰ ῥούβλ. 26242.

Αὐτὸς δὲ ὁ Ἰωάννης εἶπεν ὅτι κατὰ τὸ παρελθὸν τὸ 177 ἔτος συνῳδὰ τῇ αἰτήσει τῶν πανιερωτάτων πατριαρχῶν Παϊσίου Ἀλεξανδρείας καὶ Μακαρίου Ἀντιοχείας, ἐδόθη αὐτῷ βασιλικὴ ἀμοιβὴ διὰ τὸ αὐτὸ διάδημα καὶ διὰ τὸ μῆλον πρόσθετος ἐκτὸς τῶν ἄνω εἰς ἰκτίδας 4000 ῥουβλ. Ἐν τῷ ὑπουργείῳ τῶν Ἐξωτερικῶν ἐν τούτοις

